μόττοντα τοῖς ὑπάρχουσιν οὐδεὶς ἂν συμβουλεύσειεν εἰδέναι νομίζω»· ἔνθ' ἀρετὴν λέξεως μὲν τὸν *καιρὸν* καὶ τὴν *ἀκρίβειαν* φαίνεται νομίζων, τῶν δὲ δὴ λεγομένων τὸ τοῖς πράγμασι *προσήκειν* καὶ *ἁρμόττειν*· καὶ ἐν τῷ Εὐαγόρᾳ (9) «(τοῖς ποιηταῖς δέδοται) περὶ τούτων (τῶν μύθων) δηλῶσαι μὴ μόνον τοῖς **τεταγμένοις** ὀνόμασιν, ἀλλὰ τὰ μὲν *ξένοις*, τὰ δὲ *καινοῖς*, τὰ δὲ *μεταφοραῖς*· τοῖς δὲ περὶ τοὺς λόγους — — ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς **πολιτικοῖς** καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ **αὐτὰς τὰς πράξεις** ἀναγκαῖον χρῆσθαι»· ἐν οἷς ἀναγκαῖον εἶναί φησι τῷ λόγῳ τῷ ῥητορικῷ τῶν μὲν ὀνομάτων τὰ *πολιτικὰ* καὶ τά *τεταγμένα* προσεῖναι, ὅ ἐστι τὰ συνήθη καὶ τὰ κύρια, ἀλλὰ μὴ τὰ *ξένα* μηδὲ τὰ *καινὰ* ἢ τὰ κατὰ *μεταφορὰν* εἰρημένα τὰ τῶν ποιητῶν ἴδια, τῶν δ' ἐνθυμημάτων τὰ αὐτῶν τῶν πράξεων ἐχόμενα, καὶ μὴ περὶ μύθους ὄντα, καθάπερ πολλὰ τῶν τῆς ποιήσεως· καὶ προϊὼν ἐπιλέγει (10) «οἱ μὲν (οἱ ποιηταὶ) μετὰ **μέτρων** καὶ **ῥυθμῶν** ἅπαντα ποιοῦσιν, οἱ δ' (οἱ ῥήτορες) **οὐδενὸς τούτων** κοινωνοῦσιν». Ἔοικεν οὖν ἐν τῷ Φιλίππῳ (28) τὴν ὡς ἔπος εἰπεῖν εὐρυθμίαν ἐπαινέσας οὐ δοκιμάζειν οὐδ' ὁπωστιοῦν τὰ ἀκριβῶς εἰπεῖν μέτρα ἢ τοὺς ῥυθμοὺς κακίαν ἐν τούτοις εἶναι τοῦ λόγου ἡγούμενος· καὶ ἐν τῇ Ἀντιδόσει (117) **σαφήνειαν** δεῖν προσεῖναι τῇ λέξει λέγων «δεῖ γὰρ οὐχ ἁπλῶς εἰπεῖν ἀλλὰ **σαφῶς** φράσαι περὶ αὐτῶν».

ΙΕ'. Ο ΤΟΥ ΛΟΓΟΥ ΚΟΣΜΟΣ

Ἔστι μὲν ὁ κατ' Ἰσοκράτη **λόγου κόσμος** ὅνπερ *σχήματα* τῶν ἄλλων τεχνικῶν πολλοὶ εἰρηκότες τυγχάνουσι, τὰ μὲν κατὰ τὴν λέξιν, τὰ δὲ κατὰ τὴν διάνοιαν ὄντα, ὁ δὲ καὶ *ἰδέας* τοῦ λόγου μύριον οὔσας ἔτυχεν εἰπὼν (ὅρα κεφ. Ι.), *σχήματα* δ' εἶπε μόνον τὰ γυμναστικὰ τὰ πρὸς ἀγωνίαν ηὑρημένα, ἃ οἱ παιδοτρίβαι τοὺς φοιτῶντας διδάσκουσι, τῶν τῆς ῥητορικῆς διδασκάλων τὰς *ἰδέας* ἀντὶ τούτων τοῖς μαθηταῖς διεξιόντων (15, 183).

Καὶ ἁπλῶς μὲν **λόγου κόσμον** ἐν τῷ Εὐαγόρᾳ εἰπὼν εὑρίσκεται περὶ ποιητῶν τὸν λόγον ποιούμενος (9) «τοῖς ποιηταῖς πολλοὶ δέδονται **κόσμοι**», τούς τε μύθους λέγων καὶ τά τε ξένα καὶ τὰ καινὰ τῶν ὀνομάτων καὶ τὰς μεταφορὰς καὶ τἄλλα τὰ τοιαῦτα, τὰ τῇ ποιήσει μόνον δεδομένα· καὶ ἐν τῷ Πανηγυρικῷ (9) «τὸ τοῖς ὀνόμασιν **εὖ δια-**

θέσθαι (ἃ ἄν τις ἐνθυμηθῇ) τῶν εὖ φρονούντων ἴδιον»· τοῦτο δ' ἔστι τὸ *κοσμῆσαι*.

'Ακριβέστερα δ' ἂν περὶ τούτου ἴδοις ἐν ἄλλοις αὐτῷ λόγοις γεγραμμένα, περί τε ἐνθυμημάτων πολλῶν ἢ ποικίλων καὶ περὶ ἀντιθέσεων καὶ παρισώσεων καὶ ποικιλιῶν καὶ εὐρυθμιῶν καὶ μουσικοῦ τινος ἐν τοῖς λόγοις· οἷον ἐν τῷ Φιλίππῳ (27) «οὐδὲ ταῖς περὶ τὴν λέξιν ***εὐρυθμίαις*** καὶ ***ποικιλίαις*** κεκοσμήκαμεν αὐτὸν (τὸν λόγον)», καὶ ἐν τῷ Παναθηναϊκῷ (2) «περὶ ἐκείνους ἐπραγματευόμην τῶν λόγων τοὺς ***πολλῶν*** μὲν ***ἐνθυμημάτων*** γέμοντας οὐκ ὀλίγων δ' ***ἀντιθέσεων*** καὶ ***παρισώσεων*** καὶ τῶν ἄλλων *ἰδεῶν* τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν», καὶ ἐν τῷ κατὰ τῶν σοφιστῶν (16) «τὸ δὲ τοῖς ***ἐνθυμήμασι*** πρεπόντως ὅλον τὸν λόγον *καταποικῖλαι καὶ τοῖς ὀνόμασιν* ***εὐρύθμως*** καὶ ***μουσικῶς*** εἰπεῖν, ταῦτα δὲ πολλῆς ἐπιμελείας δεῖσθαί (φημι)», καὶ ἐν τῇ 'Αντιδόσει (46) «εἰσί τινες, οἳ γράφειν προῄρηνται λόγους, οὓς ἅπαντες ἂν φήσειαν ὁμοιοτέρους εἶναι τοῖς μετὰ ***μουσικῆς*** καὶ ***ῥυθμῶν*** πεποιημένοις ἢ τοῖς ἐν δικαστηρίῳ λεγομένοις· καὶ γὰρ τῇ *λέξει* ***ποιητικωτέρᾳ*** καὶ ***ποικιλωτέρᾳ*** τὰς πράξεις δηλοῦσι, καὶ τοῖς *ἐνθυμήμασι* ***ὀγκωδεστέροις*** καὶ ***καινοτέροις*** χρῆσθαι ζητοῦσιν, ἔτι δὲ ταῖς ἄλλαις *ἰδέαις* *ἐπιφανεστέραις* καὶ *πλείοσιν* ὅλον τὸν λόγον διοικοῦσιν».

ΙϚ'. ΛΟΓΟΝ ΕΥΡΙΣΚΕΙΝ

Τὸ ***λόγον εὑρίσκειν*** οὐ πάνυ τι τῶν περὶ τὴν ῥητορικὴν κυρίων ὀνομάτων ἢ ῥήσεων 'Ισοκράτει εἰρῆσθαι δοκεῖ, καθάπερ πολλοῖς τῶν ἄλλων τεχνικῶν· οὐ γὰρ περὶ τὰ καθ' ἕκαστον τῶν τοῦ λόγου μορίων, τῶν τε ἰδεῶν καὶ τῶν ἐνθυμημάτων, ἐστίν, ἀλλὰ περὶ τὸν ὅλον μάλιστα λόγον καὶ ὅλην τὴν τούτου ὑπόθεσιν. Ἔγραψε γάρ που τοῦ Παναθηναϊκοῦ (164) «τοῦτον δ' εἴρηκα τὸν λόγον (τὸν Πανηγυρικόν) οὐκ αὐτὸς ***εὑρὼν*** ἀλλ' ἐκ τῶν ἐκείνοις (τοῖς βαρβάροις) πεπραγμένων συλλογισάμενος», καὶ ἐν τῇ 'Ελένῃ (11) «οἱ κοινοὶ καὶ πιστοὶ καὶ τούτοις ὅμοιοι τῶν λόγων διὰ πολλῶν ἰδεῶν καὶ καιρῶν δυσκαταμαθήτων ***εὑρίσκονταί*** τε καὶ λέγονται», καὶ ἐν τῷ κατὰ τῶν σοφιστῶν (12) «οὗτος εἶναι δοκεῖ τεχνικώτατος, ὃς ἂν μηδὲν τῶν αὐτῶν τοῖς ἄλλοις ***εὑρίσκειν*** δύνηται».

Τὸ δὲ ***λόγων εὑρετὴς*** ταὐτά που τῷ *λογοποιὸς* (ΚΒ'. 8) φαίνεται δυνάμενον· εἴρηται γὰρ ἐν τῷ Φιλίππῳ (144) «ἐνθυμοῦ ὅτι τὸν Ταντάλου πλοῦτον καὶ τὴν Πέλοπος ἀρχὴν καὶ τὴν Εὐρυσθέως δύναμιν οὐδεὶς ἂν οὔτε ***λόγων εὑρετὴς*** οὔτε ποιητὴς ἐπαινέσειεν»· ἔνθ' ὁ *λόγων εὑρετὴς* σοφιστὴς ἐγκωμιάζων ἂν εἴη· οἷον καὶ τὸ ἐν Εὐαγόρᾳ (40) «τὶς ἂν [ῥήτωρ] ἢ ποιητὴς ἢ ***λόγων εὑρετὴς*** ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν»;

ΙΖ'. Η ΤΟΥ ΛΟΓΟΥ ΣΥΝΘΕΣΙΣ. ΤΑΞΙΣ, ΔΙΟΙΚΗΣΙΣ

Τὸ ἐκ πολλῶν καὶ παντοίων κοινῶν λόγου μορίων (ἰδεῶν ἢ εἰδῶν) συνάγοντα ἕνα λόγον εὔτακτον ποιεῖν τῶν μεγίστων τῆς τέχνης ὂν ἔργων ***συντιθέναι*** Ἰσοκράτει ἐστί, τὸ δὲ γίγνεσθαι καὶ εἶναι *συντίθεσθαι* καὶ *συγκεῖσθαι* ἢ *συνεστηκέναι* φιλεῖ λέγειν. Γέγραφε γὰρ ἐν μὲν τῷ πρὸς Νικοκλέα (7) «πολλὰ τῶν καταλογάδην συγγραμμάτων ἐν ταῖς διανοίαις ὄντα τῶν ***συντιθέντων*** μεγάλας τὰς προσδοκίας παρέσχεν», ἐν δὲ τῇ Ἑλένῃ (11) «οἱ κοινοὶ καὶ πιστοὶ καὶ τούτοις ὅμοιοι τῶν λόγων χαλεπωτέραν ἔχουσι *τὴν* ***σύνθεσιν»***, ἐν δὲ τῷ Παναθηναϊκῷ (245) «ἡγοῦμαι βέλτιστά σε πράξειν, ἢν δυνηθῇς τὴν διάνοιαν, ᾗ χρώμενος τὸν λόγον ***συνέθηκας,*** ὡς τάχιστα φανερὰν ποιῆσαι», ἐν δὲ τῷ κατὰ τῶν σοφιστῶν (16) «φημὶ τῶν ἰδεῶν, ἐξ ὧν ἅπαντας τοὺς λόγους καὶ λέγομεν καὶ ***συντίθεμεν,*** λαβεῖν τὴν ἐπιστήμην οὐκ εἶναι τῶν πάνυ χαλεπῶν», ἐν δὲ τῇ Ἀντιδόσει (11) «τοσαύτας ἰδέας καὶ τοσοῦτον ἀλλήλων ἀφεστώσας ***συναρμόσαι*** καὶ ***συναγαγεῖν*** καὶ τὰς ἐπιφερομένας ***οἰκειῶσαι*** καὶ πάσας ποιῆσαι σφίσιν αὐταῖς ***ὁμολογουμένας*** οὐ πάνυ μικρὸν ἦν ἔργον»· ἐν οἷς σαφῶς ἂν ἴδοις οὐκ ἄλλ' ἢ τῶν τοῦ *συντιθέναι* παντοίων ἔργων ταῦτ' ὄντα, τό τε *συναρμόττειν* καὶ τὸ *συνάγειν* καὶ τὸ *ὁμολογούμενα* ἀλλήλοις τὰ τοῦ λόγου μόρια ποιεῖν.

Τὸ δ' οὕτω τὰ τοῦ λόγου μόρια διακοσμεῖν ὥσθ' ἕν τι εὐάρμοστον καὶ ἐντελὲς συναπεργάζεσθαι, τὸ ὑπ' ἄλλων τεχνικῶν *οἰκονομεῖν* τε καὶ *οἰκονομίαν* λεγόμενον, ***τάττειν*** καὶ ***διαιρεῖν*** ἢ ***διαττάτεσθαι*** καὶ ***διαιρεῖσθαι*** ἡμῖν ὁ ῥήτωρ εἰρηκὼς εὑρίσκεται. Ἔτυχε γὰρ γράψας ἐν μὲν τῷ κατὰ τῶν σοφιστῶν (16) «Τὸ δὲ τούτων (τῶν ἰδεῶν)

ἐφ' ἑκάστῳ τῶν πραγμάτων ἃς δεῖ προελέσθαι καὶ **μεῖξαι** πρὸς ἀλλήλας καὶ **τάξαι** κατὰ τρόπον ἐπιμελείας φημὶ δεῖσθαι»· ἔστι δὲ τὸ *μεῖξαι* τοῦτο τῶν περὶ τὴν *σύνθεσιν* ἔργον οὐ σμικρόν. Ἐν δὲ τῷ Παναθηναϊκῷ (6) «ἣν ταῦτα τῷ λόγῳ δυνηθῶ **διοικῆσαι** κατὰ τρόπον, ἐλπίζω ἀλύπως διάξειν», καὶ (239) «ἐν ἀρχῇ οὕτω μοι φαίνει **τάξαι**», ἐν δὲ τῇ Ἀντιδόσει (47) «ἔτι δὲ ταῖς ἄλλαις ἰδέαις ἐπιφανεστέραις καὶ πλείοσιν ὅλον τὸν λόγον **διοικοῦσιν** (οἱ περὶ τοὺς πολιτικοὺς λόγους)», καὶ (113) «ἀναγκαίως εἶχεν οὕτω **διελέσθαι** καὶ **διατάξασθαι** περὶ αὐτῶν».

Ἀντὶ δὲ τοῦ *ἐκλέγειν*, ᾧπερ ἄλλοι ἐν ταῖς τέχναις χρῆσθαι εἰώθασι, **προαιρεῖσθαι** ἢ **ἐκλέγεσθαι** Ἰσοκράτης εἰρηκὼς τυγχάνει· οἷον (13, 16) «τὸ δὲ τῶν ἰδεῶν ἐφ' ἑκάστῳ τῶν πραγμάτων ἃς δεῖ **προελέσθαι** πολλῆς ἐπιμελείας φημί δεῖσθαι», καὶ (15, 277) «τῶν πράξεων τῶν συντεινουσῶν πρὸς τὴν ὑπόθεσιν **ἐκλέξεται** τὰς πρεπωδεστάτας καὶ μάλιστα συμφερούσας».

Ἀμελήσας δέ που *τῆς τάξεως* (12, 88) καὶ εἰς περιττολογίαν ἐκτραπεὶς συγγνώμην τοῦ ἁμαρτήματος παρὰ τῶν ἀκουόντων αἰτούμεμενος λέγει «οὐκ οἶδ' ὅποι τυγχάνω φερόμενος· ἀεὶ γὰρ οἰόμενος δεῖν προστιθέναι τὸ τῶν προειρημένων ἐχόμενον, παντάπασι *πόρρω γέγονα τῆς ὑποθέσεως*. Λοιπὸν οὖν ἐστιν αἰτησάμενον τῷ γήρᾳ συγγνώμην ὑπὲρ τῆς λήθης καὶ τῆς μακρολογίας ἐπανελθεῖν ὅθενπερ εἰσέπεσον εἰς τὴν *περιττολογίαν* ταύτην», καὶ (161) «λέγειν τινὲς τολμήσουσιν, ὡς *ἔξω τῆς ὑποθέσεως* τοῖς λόγοις τούτοις ἐχρησάμην».

ΙΑ'. ΑΙ ΤΟΥ ΛΟΓΟΥ ΑΡΕΤΑΙ

Πολλὰ τὸν λόγον τὸν ὡς τὸ ὅλον εἰπεῖν, οὐ τὸν ῥητορικὸν μόνον, ἐπαινέσας ἔτυχεν ἡμῖν ὁ ῥήτωρ, οὐ σμικρὰς οὐδ' ὀλίγας αὐτοῦ ἀρετὰς καταλέξας, πρός τε τἆλλα ἡμῖν ἀγαθὰ καὶ πρὸς τὴν ῥώμην παραβάλλων· οἷον ἐν τῷ Πανηγυρικῷ (1 - 3) σφόδρα κατηγορεῖ τῶν τοὺς ἀγῶνας καταστησάντων, ὅτι περὶ πλείονος τὴν ῥώμην τῶν λόγων ἐποιήσαντο μόνον ταύτῃ ἆθλα θέμενοι· «τῶν μὲν γὰρ ἀθλητῶν δὶς τοσαύτην ῥώμην λαβόντων οὐδὲν ἂν πλέον γένοιτο τοῖς ἄλλοις, ἑνὸς δ' ἀνδρὸς εὖ φρονήσαντες (καὶ **λόγῳ** ἃ ἂν φρονῇ δηλώσαντος) ἅπαν-

τες ἂν ἀπολαύσειαν οἱ βουλόμενοι (διὰ τοῦ ***λόγου***) κοινωνεῖν τῆς ἐκείνου διανοίας»·

καὶ ἐν τῇ 'Αντιδόσει (253 κ. ἑξ.) πάντων τῶν ἄλλων ἀγαθῶν κράτιστον ὂν τὸν λόγον εὑρίσκων, «τοῖς μὲν γὰρ ἄλλοις (ἀγαθοῖς) οὐδὲν τῶν ζῴων διαφέρομεν, ἀλλὰ πολλῶν πολλοῖς καταδεέστεροι τυγχάνομεν ὄντες· ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλοις καὶ (***λόγῳ***) δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν ἀλλὰ καὶ πόλεις ᾠκίσαμεν καὶ νόμους ἐθέμεθα καὶ τέχνας ηὕρομεν, καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα ***λόγος*** ἡμῖν ἐστιν ὁ συγκατασκευάσας»·

καὶ ἄλλοθί που τοῦ αὐτοῦ λόγου (301) τοὺς τῇ πόλει συμβουλεύοντας ῥήτορας πρὸς τοὺς ἀθλητὰς παραβάλλων, «ἔστι δικαστῶν νοῦν ἐχόντων τοὺς τῶν ἐπαίνων τῶν λεγομένων περὶ αὐτῆς (τῆς πόλεως) μέρος τι ***(λόγῳ)*** συμβαλλομένους τιμᾶν μᾶλλον ἢ τοὺς ἀθλητὰς τοὺς ἐν τοῖς στεφανίταις ἀγῶσι νικῶντας· πολὺ γὰρ καλλίω. δόξαν ἐκείνων κτώμενοι τῇ πόλει τυγχάνουσι καὶ μᾶλλον ἁρμόττουσαν»·

καὶ τῶν ἐπιστολῶν ἐν τῇ δευτέρᾳ (15) περὶ τῆς τοῦ λόγου δυνάμεως λόγων « οἱ μηδεν ἀγαθὸν οἱοί τ' ὄντες ποιῆσαι (οἱ δημαγωγοὶ) διαπράττονται ***τοῖς λόγοις*** ὅ,τι ἂν βουληθῶσιν».

Περὶ δ' ἀρετῶν τῶν *λόγων τῶν ῥητορικῶν* πολλὰ γεγραφὼς εὑρίσκεται· οἷον ἐν τῷ πρὸς Νικοκλέα (41) περὶ παραινέσεων τὸν λόγον ποιούμενος « οὐκ ἐν τοῖς λόγοις χρὴ τούτοις (τοῖς παραινετικοῖς) [τῶν ἐπιτηδευμάτων] ζητεῖν τὰς καινότητος, ἀλλ' ἡγεῖσθαι τοῦτον χαριέστατον, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίας ***ἀθροῖσαι*** τὰ πλεῖστα δυνηθῇ »· ὥστ' ἔν γε ταῖς παραινέσεσιν ἀθροίζων ἄν τις τὰ ἄλλοις εἰρημένα καὶ κάλλιστ' αὐτὸς φράζων ἄριστ' ἂν ποιοῖ καὶ οὐδὲν παράλογον·

καὶ ἐν τῷ Πανηγυρικῷ (11), περὶ τῶν ἐπιδεικτικῶν πρὸς τοὺς δικανικοὺς *λόγους* προκειμένου, κακῶς φησιν ἐπιτιμᾶν τινας τοῖς ἐπιδεικτικοῖς τῶν λόγων πρὸς τοὺς δικανικοὺς σκοποῦντας, ὡς *ὑπὲρ τοὺς ἰδιώτας* οὖσι καὶ λίαν ***ἐπηκριβωμένοις***· τοὺς μὲν γὰρ *ἁπλῶς* δεῖν ἔχειν, τοὺς δέ, εἰς ὑπερβολὴν πεποιημένους πρὸς τοὺς ἀγῶνας, ***ἐπιδεικτικῶς***. Ὅθεν τὸ ***ἐπηκριβῶσθαι*** τῶν ἐπιδεικτικῶν λόγων ἀρετή τις ἂν εἴη, ἀλλ' οὐ τῶν δικανικῶν κατ' Ἰσοκράτη, οὓς δεῖ ***ἁπλῶς*** ἔχειν·

ἐν δὲ τῷ περὶ εἰρήνης (27) πολλῶν τινων δεῖσθαί φησι τοὺς ἔξω τῶν εἰθισμένων συμβουλεύοντας λόγους, τὰ μὲν ***ἀναμνῆσαι*** τοὺς ἀκούοντας, τῶν δὲ ***κατηγορῆσαι***, τὰ δ' ***ἐπαινέσαι***, περὶ δὲ τῶν ***συμβουλεῦσαι***. Τὸ ἔχειν ἄρα πάντα ταῦτα, ἀνάμνησίν τε καὶ κατηγορίαν καὶ ἔπαινον καὶ συμβουλήν, τῶν ἀναγκαίως προσόντων τῷ λόγῳ τῷ συμβουλεύοντι ἂν εἴη·

ἐν δὲ τῇ Ἑλένῃ (8) τοῖς σοφισταῖς ἐπιτιμῶν τὴν ***ἐπίδειξιν*** δεῖν εἶναί φησιν οὐ περὶ ***ψευδῆ*** οὐδὲ ***πονηρὰ*** πράγματα, οἷον ὡς ὁ τῶν πτωχευόντων καὶ φευγόντων βίος ζηλωτότερος ἢ τῶν ἄλλων ἀνθρώπων, ἀλλὰ περὶ ***καλὰ κἀγαθά***·

ἐν δὲ τῷ κατὰ τῶν σοφιστῶν (12 κ. ἑξ.) ἐπιτιμῶν αὐτοῖς, ὅτι τοῖς γράμμασι τοὺς λόγους παραβάλλοντες ὁμοίως ἔχειν φασίν, πολλῷ διαφέροντα τὰ ἑκατέροις προσόντα πειρᾶται δεικνύναι τάδε λέγων· « τὸ τῶν γραμμάτων ἀκινήτως ἔχει καὶ μένει ταὐτόν, ὥστε τοῖς αὐτοῖς, ἀεὶ περὶ τῶν αὐτῶν χρώματοι διατελοῦμεν, τὸ δὲ τῶν ***λόγων*** πᾶν τοὐναντίον πέπονθε· τὸ γὰρ ὑφ' ἑτέρου ῥηθὲν τῷ λέγοντι μετ' ἐκεῖνον οὐχ ὁμοίως χρήσιμόν ἐστιν, ἀλλ' οὗτος εἶναι δοκεῖ τεχνικώτατος, ὅστις ἂν ***ἀξίως*** μὲν ***λέγῃ τῶν πεπραγμένων***, ***μηδὲν*** δὲ ***τῶν αὐτῶν*** τοῖς ἄλλοις ***εὑρίσκειν*** δύνηται· τοὺς γὰρ λόγους οὐχ οἷόν τε καλῶς ἔχειν ἢν μὴ τῶν ***καιρῶν*** καὶ τοῦ ***πρέποντος*** καὶ τοῦ ***καινῶς*** μετάσχωσι»· καίτοι ἐν τῷ πρὸς Νικοκλέα (41) περὶ παραινέσεων τὸν λόγον ποιούμενος οὐκ ἀναγκαῖον εἶναι τὸ ***καινῶς*** ἔχειν τοὺς λόγους φαίνεται φάσκων, αὐτὸς ἑαυτῷ ἐναντία λέγων·

ἐν δὲ τῷ Παναθηναϊκῷ (2) ψέγων τοὺς σοφιστικοὺς καὶ τοὺς δικανικοὺς λόγους ***ἀρίστους*** φαίνεται ἡγούμενος τῶν λόγων τοὺς ***τῇ πόλει*** καὶ τοῖς ***ἄλλοις Ἕλλησι συμβουλεύοντας***, πλείστων ἀρετῶν τε καὶ κόσμου τοῦ περί τε τὴν διάνοιαν καὶ τὴν λέξιν μετέχοντας, ὥστε καὶ τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ἀναγκάζειν, τῶν δικανικῶν ***ἁπλῶς*** καὶ ***ἀκόμψως*** λεγομένων. Ἄλλοθι δὲ τοῦ λόγου τούτου (4) τὴν ***ποικιλίαν*** ἀρετὴν εἶναι τοῦ λόγου φησίν, προσοῦσαν μὲν αὐτοῦ τοῖς λόγοις ἀκμάζοντος, ἀποῦσαν δ' αὐτῶν γηράσκοντος, ***μαλακωτέρων*** διὰ τοῦτο ὄντων.

καὶ τῶν ἐπιστολῶν ἐν τῇ ἐνάτῃ (7) « μέλλω λέγειν ἡγούμενος δεῖν τοὺς ἐπιεικείας καὶ φρονήσεως ἀμφισβητοῦντας μὴ τοὺς ***ῥᾴστους***

προαιρεῖσθαι τῶν *λόγων* ἀλλὰ τοὺς *ἐργωδεστάτους* μηδὲ τοὺς *ἡδίστους* τοῖς ἀκούουσιν, ἀλλ' ἐξ ὧν *ὠφελήσουσι* καὶ τὰς πόλεις τὰς ἑαυτῶν καὶ τοὺς ἄλλους Ἕλληνας»· δηλοῖ δὲ τοὺς πολιτικοὺς λόγους λέγειν βουλόμενος.

Κακίαν δὲ τοῦ λόγου οὐχ ἅπαξ τὸ ἀσθενὲς αὐτοῦ καὶ ἄτονον ἔτυχεν εἰπών, τὸ *μαλακὸν* αὐτὸ καλῶν ἢ τὸ *ἐκλελυμένον*· οἷον (5, 149) «ἥν τι τῶν εἰρημένων ᾖ *μαλακώτερον* ἢ καταδεέστερον, αἰτιῶ τὴν ἐμὴν ἡλικίαν», καὶ (12, 4) «ἤν τισιν ὁ μέλλων δειχθήσεσθαι *λόγος μαλακώτερος* ὢν φαίνηται τῶν πρότερον διαδεδομένων», καὶ (15, 9) «χρὴ συγγνώμην ἔχειν, ἢν *μαλακώτερος* ὢν φαίνηται (ὁ λόγος) τῶν παρ' ἐμοῦ πρότερον ἐκδεδομένων», καὶ (ἐπιστ. 6, 6) «ἀγαπῴην ἄν, εἰ μὴ παντάπασιν *ἐκλελυμένως* διαλεχθείην περὶ αὐτῶν».

Σκοπούμενος δὲ πρὸς τοὺς δικανικοὺς τῶν λόγων τοὺς ἐπιδεικτικοὺς καὶ τοὺς συμβουλεύοντας τῶν πολιτικῶν πολλῷ κρείττους ἐκείνων τούτους εὑρίσκει. Γέγραφε γὰρ (τὰ ἐν τῷ Πανηγυρικῷ ἴδιος ἂν ἐν σελ. 397) ἐν τῇ Ἀντιδόσει (46 κ. ἑξ), ὅτι λόγους φιλεῖ γράφειν οὐ *τοὺς περὶ τῶν ἰδίων συμβολαίων*, ἀλλ' *Ἑλληνικοὺς καὶ πολιτικούς*, οὓς ἅπαντες ἂν φήσειαν ὁμοιοτέρους εἶναι τοῖς μετὰ μουσικῆς καὶ ῥυθμῶν πεποιημένοις ἢ *τοῖς ἐν δικαστηρίῳ λεγομένοις*, πλεῖστον τῇ τε λέξει καὶ τοῖς ἐνθυμήμασι κεκοσμημένους· διὸ πολλοὶ αὐτοῦ μαθηταὶ γίγνοιντο, ὀλίγοι δὲ *τῶν τὰς δίκας εὖ λεγόντων*. Συνειδέναι γὰρ *τοὺς μὲν δικανικοὺς* διὰ πολυπραγμοσύνην ἐμπείρους τῶν *ἀγώνων* γεγενημένους καὶ τὴν τῆς δίκης ἡμέραν μόνον ἀνεκτοὺς ὄντας καί, εἰ δὶς ἢ τρὶς ἐν δικαστηρίῳ ὀφθεῖεν, μισουμένους καὶ διαβαλλομένους, τοὺς δὲ *τοὺς πολιτικοὺς* γράφοντας *λόγους* (ὅ ἐστιν αὐτὸν) ἐκ *φιλοσοφίας* τὴν δύναμιν ταύτην εἰληφότας καὶ ἐν ἁπάσαις ταῖς ὁμιλίαις καὶ παρὰ πάντα τὸν χρόνον ἐντίμους ὄντας καί, ὅσῳπερ πλείοσι καὶ πλεονάκις συγγένοιντο, τοσούτῳ μᾶλλον θαυμαζομένους. Προσέτι δὲ *τοὺς μὲν περὶ τὰς δίκας δεινοὺς* πόρρω τῶν *λόγων τῶν πολιτικῶν* ὄντας, τοὺς δὲ περὶ τούτους τοὺς λόγους ταχέως ἄν, εἰ βουληθεῖν, καὶ ἐκείνους ἑλεῖν δυνηθέντας.

Εἴρηται δ' ἔτι περὶ τῶν τοῦ λόγου ἀρετῶν ἄλλα ἀλλαχοῦ καὶ ἐν τοῖς ἔμπροσθεν λόγοις, ἔν τε τῷ περὶ τῶν *ἀρετῶν* τῶν τε τῆς λέξεως καὶ τῆς διανοίας (κεφ. ΙΔ΄) πολλῶν κοινῶν οὐσῶν καὶ ἐν τῷ ἕκτῳ κεφαλαίῳ (ϛ΄, σελ. 12—23 τοῦ Α΄ μέρους), τῷ περὶ τῶν τοῦ

ῥητορικοῦ λόγου εἰδῶν, ἔνθ' ἅμ' ὁριζόμενοι τῶν εἰδῶν τούτων ἕκαστα λόγον ἀναγκαίως ποιούμεθα καὶ περὶ τῶν ἰδίᾳ ἑκάστοις προσόντων καὶ τῶν ἀρετῶν ἄρα ἢ κακιῶν.

Κ'. ΑΙ ΤΟΥ ΡΗΤΟΡΟΣ ΑΡΕΤΑΙ

Τίνων μὲν δεῖ τὸν ῥήτορα τὸν ἀγαθὸν μετέχειν καὶ ὅπως πρὸς τοὺς λόγους ἔχειν καὶ τίνων ἀπέχεσθαι λέγοντα ἢ γράφοντα πολλάκις πρότερον ἀλλαχοῦ τε καὶ ἐν τῷ περὶ ἀρετῶν τῶν τοῦ λόγου Ἰσοκράτη μάρτυρα ἐτύχομεν ποιούμενοι. Οὐκ ἄκαιρον δ' ἂν εἴη καὶ χωρὶς ἐνθάδε λόγον τινὰ περὶ αὐτοῦ ποιήσασθαι. Εἶπε γάρ που τοῦ μὲν πρὸς Νικοκλέα (41) «ἡγεῖσθαι ***χαριέστατον*** εἶναι ῥήτορα, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις *ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ* καὶ *φράσαι κάλλιστα* περὶ αὐτῶν»·

τοῦ δὲ Πανηγυρικοῦ (10) τῶν ῥητόρων ἀξίους θαυμάζειν καὶ τιμᾶν εἶναι οὐ τοὺς περὶ τούτων ζητοῦντας λέγειν, *περὶ ὧν μηδεὶς πρότερον εἴρηκεν*, ἀλλὰ τοὺς οὕτως ἐπισταμένους εἰπεῖν, *ὡς οὐδεὶς ἂν ἄλλος δύναιτο.* Ἀρετή τις ἄρα ῥήτορος οὐ τὸ καινὰ εὑρόντα πραγματεύσασθαι, ἀλλὰ τὸ κράτιστα πάντων εἰπεῖν καὶ λόγῳ δηλῶσαι, εἴτ' οὖν παλαιὰ εἴτε καινὰ τὰ περὶ ὧν ὁ λόγος ἔσται·

τοῦ δὲ κατὰ τῶν σοφιστῶν (13) τοῦτον εἶναι τῶν ῥητόρων *τεχνικώτατον*, ὅστις ἂν *ἀξίως μὲν λέγῃ τῶν πραγμάτων*, *μηδὲν δὲ τῶν αὐτῶν τοῖς ἄλλοις εὑρίσκειν δύνηται.* Καίτοι ἐν τῷ πρὸς Νικοκλέα (41) καὶ τῷ Πανηγυρικῷ (10) περὶ ἐλαχίστου ποιούμενος φαίνεται τὸ καινὰ εὑρίσκειν καὶ λέγειν, ἐναντία αὐτὸς ἑαυτῷ λέγων·

τοῦ δὲ Παναθηναϊκοῦ (2) τῶν ῥητόρων τοῖς μὲν νεωτέροις πανταχῇ τὸν λογον κοσμεῖν προσήκειν, τοῖς περί τε τὴν λέξιν καὶ τὴν διάνοιαν σχήμασι, τοῖς δὲ πρεσβυτέροις ἀπέχεσθαι τούτων λέγοντας ἢ γράφοντας ἁρμόττειν, τεχνικώτατον δ' ἄλλως κατασκευάζειν τὸν λόγον, καίπερ μαλακώτερον φανήσεσθαι μέλλοντα ἀπολειπόμενον τοῦ κόσμου·

τῆς δ' ἕκτης τῶν ἐπιστολῶν (6. 7) τῶν ἀγαθῶν ῥητόρων τοὺς μὲν πρεσβυτέρους *κρείττους* μὲν τῶν νεωτέρων διὰ τὴν ἐμπειρίαν εἶναι εὑρίσκειν τε καὶ ἐνθυμεῖσθαι, *λείπεσθαι* δὲ τῷ ἐπιχαρίτως τε καὶ μουσικῶς καὶ διαπεπονημένως λέγειν.

Ἵνα δέ τις ἀγαθὸς ῥήτωρ καταστῇ,

ἐν μὲν τῷ κατὰ τῶν σοφιστῶν (14) ***εὐφυᾶ*** μὲν δεῖν ὑπάρχειν ἔφη, τὴν δὲ ***παίδευσιν*** αὐτῷ προσγεγενῆσθαι·

ἐν δὲ τῷ περὶ τῆς ἀντιδόσεως (189) τὸ τῆς ***φύσεως*** ἀνυπέρβλητον εἶναι, τὸ ἔχειν τὴν μὲν *ψυχὴν* εὑρεῖν τε καὶ μαθεῖν καὶ πονῆσαι καὶ μνημονεῦσαι δυναμένην, τὴν δὲ *φωνὴν* καὶ τὴν τοῦ *στόματος σαφήνειαν* τοιαύτην, ὥστε μὴ μόνον τοῖς λεγομένοις ἀλλὰ καὶ ταῖς τούτων εὐαρμοστίαις συμπείθειν τοὺς ἀκούοντας, ἔτι δὲ *τόλμαν* μὴ τὴν ἀναισχυντίας σημεῖον γιγνομένην, ἀλλὰ τὴν μετὰ σωφροσύνης οὕτω παρασκευάζουσαν τὴν ψυχήν, ὥστε μηδὲν ἧττον θαρρεῖν ἐν δὴ πᾶσι τοῖς πολίταις τὸν λόγον ποιούμενον ἢ πρὸς αὑτὸν διανοούμενον· τὸν δὲ τοιοῦτον ***παιδείας*** μὴ τῆς ἐπηκριβωμένης, ἀλλὰ τῆς ἐπιπολαίου καὶ τῆς κοινῆς τυχόντα *τοιοῦτον ἂν ῥήτορα* γενέσθαι, οἷον οὐδένα τῶν Ἑλλήνων γεγονέναι· καὶ μὲν δὴ καὶ τοὺς *καταδεεστέραν* τὴν ***φύσιν*** ἔχοντας, ταῖς δ' ***ἐμπειρίαις*** καὶ ταῖς ***ἐπιμελείαις*** προύχοντας κρείττους οὐ μόνον αὑτοὺς ἑαυτῶν γίγνεσθαι, ἀλλὰ καὶ τῶν ***εὖ*** μὲν ***πεφυκότων***, λίαν δ' αὑτῶν κατημεληκότων· ὥσθ' ἑκάτερον μὲν τούτων (τῆς φύσεως καὶ τῆς ἐμπειρίας) *δεινὸν ἂν λέγειν* καὶ *πράττειν* ποιῆσαι, ἀμφότερα δὲ γιγνόμενα περὶ τὸν αὐτὸν *ἀνυπέρβλητον* ἂν τοῖς ἄλλοις ἀποτελέσαι. Τὴν δὲ ***παιδείαν*** οὔθ' ὁμοίαν οὔτε παραπλησίαν ταύταις (τῇ τε φύσει καὶ τῇ ἐμπειρίᾳ) τὴν δύναμιν ἔχειν· διακούσαντα γὰρ ἅπαντα τὰ περὶ λόγοις καὶ διακριβωθέντα μᾶλλον τῶν ἄλλων, *γράφειν* μὲν ἂν λόγους χαριέστερον τῶν πολλῶν, εἰς ὄχλον δὲ καταστάντα, εἰ τοῦ *τολμᾶν* στερηθείη, *οὐδ' ἂν φθέγξασθαι* δύνασθαι. Κατὰ δὴ ταῦτα τὰ ἐν τῇ Ἀντιδόσει εἰρημένα πρῶτον μὲν τὴν ***φύσιν*** προσεῖναι δεῖ τῷ ῥήτορι μέλλοντι ἔσεσθαι ἀνυπέρβλητον δύναμιν ἔχουσαν, τὴν δ' ***ἐμπειρίαν*** καὶ τὴν ***ἐπιμέλειαν*** δεύτερόν, τὴν δὲ ***παιδείαν*** τρίτον.

ΚΑ'. Η ΤΗΣ ΤΕΧΝΗΣ ΔΙΔΑΣΚΑΛΙΑ

Ὅτου μὲν ἕνεκα Ἰσοκράτης πρὸς τὸ διδάσκειν καὶ παιδεύειν ἐτράπετο λογογραφῶν, ὡς ἔοικε, πρότερον ἐν τῇ Ἀντιδόσει που εἶπε λέγων (161) «ὅτ' ἠρχόμην *ἐπαμύνειν τοῖς ἰδίοις ἀπολομένων ἐν τῷ πολέμῳ τῷ πρὸς Λακεδαιμονίους ἁπάντων τῶν ὑπαρχόντων ἡμῶν* ——,

ὅτε δ' οὖν, ὥσπερ εἶπον, ἠρχόμην *πλησιάζειν* (διδάσκειν) *τισίν*, ᾤμην, εἰ δυνηθείην πλείω κτήσασθαι καὶ περιποιήσασθαι τῶν ἐπὶ τὸν αὐτὸν (διδασκαλικὸν) βίον ὁρμησάντων, ἀμφότερα δείξειν, καὶ περὶ τὴν *φιλοσοφίαν* (διδασκαλίαν) *διαφέρειν* καὶ *κοσμιώτερον βεβιωκέναι* τῶν ἄλλων». Αἴτιον μὲν οὖν εἶναί φησιν τοῦ πρὸς τὸ διδάσκειν τραπῆναι τὸ πάντ' ἀποβαλεῖν τὰ ὑπάρχοντα ἐν τῷ πολέμῳ, τέλος δὲ τὸ πλείω τῶν ὁμοτέχνων περιποιησάμενον διαφέρονθ' ἑαυτὸν ἐκείνων δεῖξαι καὶ κοσμιώτερον βεβεωκότα.

Ὅτῳ δὲ τρόπῳ τοὺς συνόντας τὴν τέχνην ἐδίδασκεν ἢ ὅλως ἐπαίδευε πολλαχοῦ τῶν λόγων πολλάκις τετύχηκε γράψας. Τῆς δ' Ἀντιδόσεώς που (193) ηὕρηται λέγων, ὡς τῆς διδασκαλίας ἀρχόμενος λόγον διέδωκε γράψας (τὸν κατὰ τῶν *σοφιστῶν*), ἐν ᾧ πολλὰ μὲν τῶν ἄλλων κατηγορεῖ διδασκάλων, πολλὰ δὲ περὶ τῆς οἰκείας αὐτοῦ λέγει μεθόδου. Γράφει γάρ που (16) τούτου «Φημὶ γὰρ ἐγὼ τῶν μὲν *ἰδεῶν* (τῶν κοινῶν τόπων), ἐξ ὧν τοὺς λόγους ἅπαντας καὶ λέγομεν καὶ συντίθεμεν, *λαβεῖν τὴν ἐπιστήμην οὐκ εἶναι τῶν πάνυ χαλεπῶν· τὸ δὲ τούτων ἐφ' ἑκάστῳ τῶν πραγμάτων ἃς δεῖ προελέσθαι καὶ μεῖξαι πρὸς ἀλλήλας καὶ τάξαι κατὰ τρόπον, ἔτι δὲ τῶν καιρῶν μὴ διαμαρτεῖν ἀλλὰ καὶ τοῖς ἐνθυμήμασι πρεπόντως ὅλον τὸν λόγον καταποικῖλαι καὶ τοῖς ὀνόμασιν εὐρύθμως* καὶ *μουσικῶς εἰπεῖν*, ταῦτα *δὲ πολλῆς ἐπιμελείας δεῖσθαι* καὶ *ψυχῆς ἀνδρικῆς* καὶ *δοξαστικῆς* ἔργον εἶναι, καὶ *δεῖν τὸν μὲν μαθητὴν* πρὸς τῷ τὴν *φύσιν* ἔχειν *οἵαν χρή*, τὰ μὲν *εἴδη* (τὰς ἰδέας) *τὰ τῶν λόγων μαθεῖν*, περὶ δὲ *τὰς χρήσεις* αὐτῶν *γυμνασθῆναι*, τὸν δὲ *διδάσκαλον τὰ μὲν* (τά τε εἴδη καὶ τὰς χρήσεις) οὕτως *ἀκριβῶς οἷόν τ' εἶναι διελθεῖν*, ὥστε *μηδὲν τῶν διδακτῶν παραλιπεῖν*, περὶ δὲ τῶν *λοιπῶν* (τῶν μὴ διδακτῶν, ἀλλὰ μιμητῶν) τοιοῦτον *αὐτὸν παράδειγμα* παρασχεῖν, ὥστε τοὺς *ἐκτυπωθέντας* (τῶν μαθητῶν) καὶ *μιμήσασθαι δυναμένους εὐθὺς ἀνθηρότερον* καὶ *χαριέστερον* φαίνεσθαι λέγοντας. Καὶ τούτων μὲν ἁπάντων (φύσεώς τε καὶ διδασκαλίας καὶ μιμήσεως) οἵων δεῖ συμπεσόντων τελέως ἕξουσιν οἱ φιλοσοφοῦντες (οἱ διδασκόμενοι)· καθ' ὅτι δ' ἂν ἐλλειφθῇ τι τῶν εἰρημένων, ἀνάγκη ταύτῃ χεῖρον διακεῖσθαι τοὺς πλησιάζοντας (τοὺς μαθητάς)». Ἐκ δὴ τούτων οὕτως εἰρημένων δῆλον ὅτι διττή τις αὐτῷ ἡ περὶ τὸ διδάσκειν τὴν τέχνην ἦν μέθοδος, τὸ μὲν διδάσκειν καὶ

τὸν μαθητὴν μανθάνειν, τὸ δὲ παράδειγμ' αὐτὸν τῷ μαθητῇ παρέχειν καὶ ἐκεῖνον μιμεῖσθαι· καὶ τῆς μὲν διδασκαλίας ἢ μαθήσεως τὸ μὲν ῥάδιον, τὸ τὰς *ἰδέας* ἁπάσας διδαχθέντα τὸν μαθητὴν μαθεῖν, τὸ δὲ λίαν χαλεπόν, τὸ *ἐκλέξασθαί* τ' ἐξ αὐτῶν τὰς πρὸς τὰ πράγματα καὶ *μεῖξαι* ἀλλήλαις καὶ τάξαι κατὰ τρόπον, ἔτι δὲ τῶν *καιρῶν ἐπιτυχεῖν* καὶ ὅλον τὸν λόγον ἐνθυμήμασί τε καὶ ὀνόμασι *κοσμῆσαι*, περὶ πάντα δὲ ταῦτα *γυμνασθῆναι*. Εαυτὸν δὲ εἰς *μίμησιν* παράδειγμα τῶν μαθητῶν τοῖς μιμεῖσθαι δυναμένοις μόνοις, ὡς εἰκός, παρεῖχε, τοῖς ἐν τῇ ἄλλῃ μαθήσει τελεωθεῖσι, δῆλον ὅτι. Ὥστε κορυφή τις ἂν εἴη τοῦτο καὶ ἄκρον τῆς περὶ τὴν τέχνην παιδείας.

Τῶν δ' ἐπιστολῶν ἐν τῇ ἕκτῃ (8) τάδε πρὸς ὀρθὴν λόγου σύνθεσιν τοῖς μαθηταῖς παραινῶν φαίνεται «Τοῦτο πρῶτον δεῖ σκέψασθαι, *τί* τῷ λόγῳ καὶ τοῖς τοῦ λόγου μέρεσι *διαπεραντέον* ἐστίν. Επειδὰν δὲ τοῦτο εὕρωμεν καὶ διακριβωσώμεθα, ζητητέον εἶναί φημι τὰς *ἰδέας*, δι' ὧν ταῦτα ἐξεργασθήσεται καὶ λήψεται τέλος ὅπερ ὑπεθέμεθα». Ταῦτα δὲ λέγων δηλοῖ, ὅτι τούτῳ μάλιστα τὸν νοῦν προσέχειν τοῖς μαθηταῖς λόγον συντιθεῖσι παραινεῖν εἰώθει, τὸ ζητοῦντας εὑρεῖν πρῶτον μὲν τὸν σκοπὸν καὶ τὸ τέλος τοῦ τε ὅλου λόγου καὶ τῶν μερῶν (προοιμίου, προθέσεως, διηγήσεως, τῶν ἄλλων), ἔπειτα τὰς προσηκούσας τῷ τέλει τοῦ τε ὅλου λόγου καὶ τῶν μερῶν ἰδέας, δι' ὧν ἡ τοῦ λόγου ὑπόθεσις λήψεται τέλος.

Ἐν δὲ τῇ Ἀντιδόσει (180) περὶ τῆς τῶν ***λόγων παιδείας*** διελθεῖν βουλόμενος τῆς ὅλης τοῦ ἀνθρώπου ἅπτεται παιδείας τὴν περὶ τὴν ψυχὴν πολλῷ τιμιωτέραν εἶναι ἡγούμενος. Εἶπε γὰρ (181) «τῶν πολὺ πρὸ ἡμῶν γεγονότων τινὲς εὑρόντες διττὰς ἐπιμελείας κατέλιπον ἡμῖν περὶ μὲν τὰ σώματα τὴν *παιδοτριβικήν*, περὶ δὲ τὰς ψυχὰς τὴν *φιλοσοφίαν* (τὴν τῶν λόγων παιδείαν) ἀντιστρόφους καὶ σύζυγας καὶ ἑαυταῖς ὁμολογουμένας, δι' ὧν οἱ προεστῶτες αὐτῶν (οἱ παιδοτρίβαι καὶ οἱ διδάσκαλοι) τάς τε ψυχὰς φρονιμωτέρας καὶ τὰ σώματα χρησιμώτερα παρασκευάζουσι, παραπλησίαις χρώμενοι καὶ ταῖς διδασκαλίαις καὶ ταῖς γυμνασίαις. Ἐπειδὰν γὰρ λάβωσι τοὺς μαθητάς, οἱ μὲν παιδοτρίβαι τὰ *σχήματα* τὰ πρὸς τὴν ἀγωνίαν τοὺς φοιτῶντας διδάσκουσιν, οἱ δὲ περὶ τὴν φιλοσοφίαν ὄντες τὰς *ἰδέας* ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώματος, διεξέρχονται τοῖς μαθηταῖς. Ἐμπείρους

δὲ τούτων ποιήσαντες καὶ διακριβώσαντες ἐν τούτοις πάλιν *γυμνάζουσιν* αὐτοὺς καὶ *πονεῖν* ἐθίζουσι καὶ *συνείρειν* καθ' ἓν ἕκαστον ὧν ἔμαθον ἀναγκάζουσιν, ἵνα *ταῦτα βεβαιότερον* κατάσχωσι καὶ τῶν *καιρῶν ἐγγυτέρω* ταῖς δόξαις γένωνται. Τοῦτον δὲ τὸν τρόπον ἐπιμελούμενοι καὶ παιδεύοντες μέχρι μὲν τοῦ γενέσθαι βελτίοις αὐτοὺς αὑτῶν τοὺς μαθητὰς ἀμφότεροι δύνανται προαγωγεῖν· ἐκείνην δὲ τὴν ἐπιστήμην οὐδέτεροι τυγχάνουσιν ἔχοντες, δι' ἧς ἂν οἱ μὲν *ἀθλητὰς* οὓς βουληθεῖαν, οἱ δὲ *ῥήτορας ἱκανοὺς* ποιήσειαν, ἀλλὰ μέρος μὲν ἄν τι συμβάλοιντο, τὸ δ' ὅλον αἱ δυνάμεις αὗται (ἡ ἀθλητικὴ *καὶ* ἡ ῥητορικὴ) παραγίγνονται τοῖς τῇ *φύσει* καὶ ταῖς *ἐπιμελείαις* διενεγκοῦσι». Κατὰ δὴ ταῦτα *διττή* τις ἀμφοτέρων οὖσα ἡ ἐπιμέλεια φαίνεται, τὸ μὲν *διδασκαλία* τῶν σχημάτων ἢ τῶν ἰδεῶν ἀντιστοιχούντων ἀλλήλοις, τὸ δὲ *γυμνασία* ἐν τούτοις καὶ *μελέτη*. Ἡ δ' *ἐπιμέλεια* αὕτη μόνον σὺν τῇ τοῦ μαθητοῦ *φύσει ἀθλητὴν* ἢ *ῥήτορ'* ἂν ἀπεργάσαιτο, χωριζομένη δὲ αὐτῆς μόνον *βελτίω* αὐτὸν ἑαυτοῦ ἂν ποιήσειεν.

Ἃ δ' *ὑπισχνεῖτο* πρὸς τοὺς πλησιάζειν αὐτῷ βουλομένους (*τοὺς μαθητὰς*) διδάσκειν ἀρχόμενος, ἄλλοθί τε ἂν εὕροιμεν καὶ ἐν τῇ Ἀντιδόσει (187), ἔνθα λέγει δεῖν τοὺς *μέλλοντας διοίσειν περὶ τοὺς λόγους* πρῶτον μὲν *εὖ πεφυκέναι* πρὸς τούτους, ἔπειτα *παιδευθῆναι* καὶ λαβεῖν τὴν περὶ αὐτῶν ἐπιστήμην, τρίτον *ἐντριβεῖς γενέσθαι* καὶ γυμνασθῆναι περὶ τὴν *χρείαν* καὶ τὴν ἐμπειρίαν αὐτῶν· εἶναι δὲ ἴδιον τοῖς μὲν μανθάνουσι *εἰσενέγκασθαι τὴν φύσιν οἵαν* δεῖ, τοῖς δὲ διδάσκουσι *δύνασθαι παιδεῦσαι* τοὺς τοιούτους, κοινὸν δ' ἀμφοτέρων τὸ περὶ τὴν *ἐμπειρίαν γυμνάσιον*. Δεῖν γὰρ τοὺς μὲν ἐπιμελῶς ἐπιστατῆσαι τοῖς παιδευομένοις, τοὺς δὲ ἐγκρατῶς ἐμμεῖναι τοῖς προστατομένοις. Ἐξ ὧν ἄν τις ἴδοι, ὅτι τριῶν τινων δεῖν τοῖς περὶ τοὺς λόγους εὐδοκιμήσουσιν ἔφη Ἰσοκράτης, τῆς τε *εὐφυΐας* ὑπὸ τοῦ μαθητοῦ εἰσφερομένης καὶ τῆς *διδασκαλίας* τοῦ διδασκάλου ἰδίας οὔσης καὶ τῆς *μελέτης* καὶ *γυμνασίας* κοινῆς ἀμφοτέρων.

Εἶπε δὲ τὴν μὲν διδασκαλίαν οὐ μόνον *διδασκαλίαν* (15, 182 κ. ἀλλ.) ἀλλὰ καὶ *φιλοσοφίαν* πλεῖστα, ὥσπερ εἴπομεν (ὅρα Δ' 1), καὶ *συνουσίαν* (15, 92 κ. ἀλλ.) καὶ *διατριβὴν* (12, 19, 236. 13, 8. 11. 15, 197· 237. κ. ἀλλ.)· τὴν δὲ παιδείαν τε καὶ παίδευσιν οὐ μόνον *παιδείαν* καὶ *παίδευσιν* (9, 6. 147α, 237α, 12, 25, 320, 6. 38e, 51α, 353b κ. ἀλλ.)

ἀλλὰ καὶ *φιλοσοφίαν* (Ὅρα Δ', 1.) καὶ *μελέτην* (15, 177. 199. 228 κ. ἀλλ.). Τοὺς δὲ μαθητὰς καὶ *μαθητὰς* μυρία εἰρηκὼς τυγχάνει (17,c. 50e. κ. ἀλλ.) καὶ *συνόντας* καὶ *πλησιάζοντας* συχνὰ (291,c. 18, 15, 199. κ. ἀλλ. 237e, 250,c. 275,a. 280,c. 13, 3. 15, 224 κ. ἀλλ.)· τοὺς δὲ *διδασκάλους* (13, 5. 315,b κ. ἀλλ.) καὶ *τοὺς περὶ τὴν φιλοσοφίαν* ἢ τοὺς *φιλοσοφοῦντας* (Ὅρα Δ', 1).

ΚΒ'. ΤΑ ΠΕΡΙ ΤΗΝ ΤΕΧΝΗΝ

1. Διαφορὰ λόγων ἀναγιγνωσκομένων καὶ λεγομένων.

Ἐστερημένος ἡμῖν φύσει φωνῆς καὶ τόλμης ὁ ῥήτωρ οὐδέποτ' ἐν πλήθει λόγον εἰπεῖν ὑπέμεινε· διετέλεσε δὲ γράφων λόγους ἢ πρὸς ἀνάγνωσιν ἢ ἐν δικαστηρίῳ ὑπ' ἀντιδίκων λεγομένους, *λογογραφῶν*, ὥσπερ ἄλλοι τε καὶ ὁ Λυσίας. Πολλαχοῦ δὲ τῶν λόγων ἐλλείπειν τούτοις αὐτὸς ὁμολογῶν πολὺ διαφέρειν ἔφη τῇ πρὸς τοὺς ἀκούοντας δυνάμει τῶν λόγων τοὺς λεγομένους τῶν ἀναγιγνωσκομένων λέγων

ἐν μὲν τῷ Φιλίππῳ (25) «Καίτοι μ' οὐ λέληθεν ὅσον διαφέρουσι τῶν λόγων εἰς τὸ πείθειν οἱ ***λεγόμενοι*** τῶν ***ἀναγιγνωσκομένων***· ἐπειδὰν γὰρ ὁ λόγος ἀποστερηθῇ τῆς τε *δόξης* τῆς τοῦ λέγοντος καὶ τῆς *φωνῆς* καὶ τῶν *μεταβολῶν* τῶν ἐν ταῖς ῥητορείαις (τοῖς λεγομένοις ἐν πλήθει λόγοις) γιγνομένων, ἔτι δὲ τῶν *καιρῶν* καὶ τῆς *σπουδῆς* τῆς περὶ τὴν πρᾶξιν, καὶ μηδὲν ᾖ τὸ συναγωνιζόμενον καὶ συμπεῖθον, ἀλλὰ τῶν μὲν προειρημένων ἁπάντων ἔρημος γένηται καὶ γυμνός, ἀναγιγνώσκῃ δέ τις αὐτὸν *ἀπιθάνως* καὶ *μηδὲν ἦθος* ἐνσημαινόμενος, ἀλλ' ὥσπερ *ἀπαριθμῶν*, εἰκότως, οἶμαι, *φαῦλος* εἶναι δοκεῖ τοῖς ἀκούουσι».

τῶν δ' ἐπιστολῶν ἐν τῇ πρώτῃ (2) «Οἶδα μὲν οὖν, ὅτι τοῖς συμβουλεύειν ἐπιχειροῦσι πολὺ διαφέρει *μὴ διὰ γραμμάτων* ποιεῖσθαι τὴν *συνουσίαν*, ἀλλ' αὐτοὺς *πλησιάσαντας*, οὐ μόνον ὅτι περὶ τῶν αὐτῶν *ῥᾷον* ἄν τις *παρὼν πρὸς παρόντα* φράσειεν ἢ δι' ἐπιστολῆς, οὐδ' ὅτι *πάντες τοῖς λεγομένοις* μᾶλλον ἢ τοῖς *γεγραμμένοις* πιστεύουσι, καὶ *τῶν μὲν* ὡς εἰσηγημάτων, *τῶν δὲ* ὡς ποιημάτων ποιοῦνται τὴν ἀκρόασιν· ἔτι δὲ πρὸς τούτοις ἐν μὲν ταῖς *συνουσίαις*, ἣν ἀγνοηθῇ

τι τῶν λεγομένων ἢ μὴ πιστευθῇ, παρὼν ὁ τὸν λόγον διεξιὼν *ἀμφοτέροις τούτοις ἐπήμυνεν*, ἐν δὲ τοῖς *ἐπιστελλομένοις* ἢ *γραφομένοις*, ἤν τι συμβῇ τοιοῦτον, *οὐκ ἔστιν ὁ διορθώσων*· ἀπόντος γὰρ τοῦ γράψαντος ἔρημα τοῦ βοηθήσοντός ἐστιν».

Πολλαχοῦ δὲ λόγον περὶ ***φωνῆς*** τε καὶ ***τόλμης*** ποιούμενος, ὡς ἀναγκαῖαι ἀγαθοῦ ῥήτορος ἀρεταί εἰσι, δηλοῖ ὁπόσῳ ***καταδεέστερον*** οἱ ***ἀναγιγνωσκόμενοι*** τῶν ***λεγομένων*** ἔχουσι λόγοι ἔρημοι τῆς φωνῆς καὶ τῆς τόλμης τοῦ λέγοντος ὄντες. Εἶπε γὰρ

ἐν μὲν τῷ Φιλίππῳ (81) «ἐγὼ πρὸς τὸ πολιτεύεσθαι πάντων ἀφυέστατος ἐγενόμην τῶν πολιτῶν, οὔτε γὰρ *φωνὴν* ἔσχον ἱκανήν, οὔτε *τόλμαν* δυναμένην ὄχλῳ χρῆσθαι»·

ἐν δὲ τῷ Παναθηναϊκῷ (10) «ἐνδεὴς ἀμφοτέρων ἐγενόμην τῶν μεγίστην δύναμιν ἐχόντων παρ' ὑμῖν, *φωνῆς* θ' ἱκανῆς καὶ *τόλμης*· ὧν οἱ μὴ τυχόντες ἀτιμότεροι περιέρχονται πρὸς τὸ δοκεῖν ἄξιοί τινες εἶναι τῶν ὀφειλόντων τῷ δημοσίῳ· τοῖς μὲν γὰρ ἐκτείσειν τὸ καταγνωσθὲν ἐλπίδες ὕπεισιν, οἱ δ' *οὐδέποτ' ἂν τὴν φύσιν μεταβάλοιεν*»·

ἐν δὲ τῇ 'Αντιδόσει (189) τὸν ἔχοντα τὴν μὲν ψυχὴν εὐφυᾶ, τὴν δὲ *φωνὴν* καὶ τὴν τοῦ *στόματος σαφήνειαν* τοιαύτην, ὥστε μὴ μόνον τοῖς λεγομένοις ἀλλὰ καὶ ταῖς εὐαρμοστίαις συμπείθειν τοὺς ἀκούοντας, ἔτι δὲ τὴν *τόλμαν* τοιαύτην ὥστε μηδὲν ἧττον θαρρεῖν ἐν δὴ πᾶσι τοῖς πολίταις τὸν λόγον ποιούμενον ἢ πρὸς αὑτὸν διανοούμενον, τυχόντα παιδείας καὶ ἐπιπολαίου τοιοῦτον ἂν γενέσθαι ῥήτορα, οἷον οὐκ ἂν ἄλλον τινὰ τῶν Ἑλλήνων.

2. *Ὑπὲρ τῶν λόγων καὶ τῆς ῥητορικῆς.*

Πολλῶν πολλὰ κατηγορούντων, ὡς ἔοικ', ἐν τῷ τότε τῶν τε λόγων καὶ τῆς ῥητορικῆς πολλαχοῦ τῶν λόγων ὑπὲρ αὐτῶν ἀπολογεῖται τὰ μὲν τοῖς κατηγορημένοις ἀντιλέγων, τὰ δὲ τοὺς λόγους καὶ τὴν τέχνην ἐπαινῶν. Οὕτως

ἐν μὲν τῷ Νικοκλεῖ (1 κ. ἑξ.) πρὸς τοὺς κατηγοροῦντας τῶν τῆς τέχνης διδασκάλων, ὡς *πλεονεξίας ἕνεκα* περὶ ταῦτα πραγματεύονται τοιάδ' ἀντιλέγει· εἰ τῶν εὖ λέγειν βουλομένων *πλεονεξίαν* κατηγοροῦσι, καὶ τούς τε ὀρθῶς πράττοντας καὶ τοὺς εὐσεβοῦντάς τε καὶ

δικαιοσύνην ἀσκοῦντας, ἵν' ὡς *πλεῖστ' ἔχοιεν ἀγαθά*, ὁμοίως δεῖν ψέγειν. *Οὔκουν ἐπιτιμητέον τοῖς λόγοις*, οἷς ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν, ἀλλὰ τοῖς τούτοις ἐξαπατῶσι καὶ μὴ δικαίως χρωμένοις. Οὕτω γὰρ ἄν τις καὶ τὸν *πλοῦτον* καὶ τὴν *ῥώμην* καὶ τὴν *ἀνδρείαν ἂν ψέγοι*, εἴ τινες τῶν ταῦτα κεκτημένων ἐξαμαρτάνοιεν καὶ πολλοὺς διὰ τούτων κακῶς ποιοῖεν· ἀλλ' οὐ δίκαιον εἶναι τὴν τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα φέρειν, ἀλλ' αὐτοὺς ἐκείνους ψέγειν, ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶνται. Λεληθέναι δ' αὐτοὺς δυσμενῶς ἔχοντας πράγματι (τῷ λόγῳ), ὃ πλείστων ἀγαθῶν τοῖς ἀνθρώποις αἴτιον γενέσθαι. *Τούτῳ* γὰρ οὐ μόνον τοῦ θηριωδῶς ζῆν αὐτοὺς ἀπαλλαγῆναι ἀλλὰ καὶ συνελθόντας πόλεις οἰκίσαι καὶ νόμους θέσθαι καὶ τέχνας εὑρεῖν· *τοῦτον* δὲ νομοθετῆσαι περὶ τῶν δικαίων καὶ τῶν ἀδίκων· *τούτῳ* ἐξελέγχειν μὲν ἡμᾶς τοὺς κακούς, ἐγκωμιάζειν δὲ τοὺς ἀγαθούς, καὶ παιδεύειν μὲν τοὺς ἀνοήτους, δοκιμάζειν δὲ τοὺς φρονίμους, καὶ ἀγωνίζεσθαι μὲν περὶ τῶν ἀμφισβητησίμων, σκοπεῖσθαι δὲ περὶ τῶν ἀγνοουμένων· αἷς γὰρ πίστεσι τοὺς ἄλλους ἡμᾶς πείθειν, ταῖς αὐταῖς ταύταις αὐτοὺς βουλεύεσθαι, καὶ ῥητορικοὺς μὲν καλεῖν τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένοις, εὐβούλοις δὲ τοὺς πρὸς αὐτοὺς ἄριστ' ἂν διαλεχθέντας· ὅλως δὲ σκοπουμένους εὑρήσειν καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων *τὸν λόγον* ἡγούμενον καὶ μάλιστ' αὐτῷ χρωμένους τοὺς πλεῖστον νοῦν ἔχοντας. Ὥστε τοὺς τολμῶντας βλασφημεῖν *περὶ τῶν τῆς τέχνης διδασκάλων* ὁμοίως ἀξίους εἶναι μισεῖν, ὥσπερ τοὺς εἰς θεοὺς ἐξαμαρτάνοντας. Ἐκ δὲ τούτων δῆλος ἡμῖν ὁ ῥήτωρ ἀντ' ἀπολογίας ἐγκώμιον τῶν λόγων γεγραφώς.

ἐν δὲ τῷ Πανηγυρικῷ (47) ἐγκωμιάζων τὴν Ἀθηναίων πόλιν τὴν περὶ *τοὺς λόγους* σπουδὴν πολὺ ἐν αὐτῇ τιμωμένην καὶ πρὸς τὰς πράξεις ἔφη αὐτοὺς παιδεῦσαι καὶ πρὸς ἀλλήλους πραῧναι, καὶ τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης διελοῦσαν τὰς μὲν φυλάττεσθαι διδάξαι, τὰς δὲ καλῶς αὐτοὺς φέρειν. Ἐξ ἁπάντων δὲ τῶν ζῴων *τὸν λόγον* μόνον ἴδιον φύσει ἡμᾶς σχόντας καὶ τοῖς ἄλλοις ἅπασι διενεγκεῖν· τῆς τύχης δ' ἐν ταῖς ἄλλαις πράξεσι κρατούσης, ὥστε πολλάκις τοὺς μὲν φρονίμους ἀτυχεῖν, τοὺς δ' ἀνοήτους κατορθοῦν, τῶν *λόγων* μόνον οὐ μετεῖναι τοῖς φαύλοις, ἀλλὰ τοῖς φρονίμοις, καὶ *τούτῳ* πλεῖστον τοὺς σοφοὺς καὶ ἀμαθεῖς ἀλλήλων διαφέρειν, ἔτι δὲ

τοὺς εὖ πεπαιδευμένους ἐξ οὐδενὸς τῶν ἄλλων σφίσι προσόντων ἀγαθῶν γιγνώσκεσθαι, ἀλλ' ἢ *ἐκ τῶν λεγομένων, τοῦ λόγου* πιστοτάτου συμβόλου παιδεύσεως ὄντος καὶ *τούτῳ* μόνῳ αὐτῶν ἐντίμων ὄντων. Τιμῶσαν δὲ καὶ θεραπούουσαν *τοὺς λόγους* τὴν Ἀθηναίων πόλιν τοσοῦτον τοὺς ἄλλους ἀνθρώπους τῷ φρονεῖν ἀπολιπεῖν, ὥστε τοὺς ταύτης μαθητὰς διδασκάλους τῶν ἄλλων γεγονέναι, καὶ μᾶλλον Ἕλληνας καλεῖσθαι τοὺς τῆς ταύτης παιδεύσεως ἢ τῆς Ἑλληνικῆς μετασχόντας φύσεως.

Μυρία δ' ἐν τῇ Ἀντιδόσει περὶ τούτου εἰπὼν τετύχηκεν· οἷον (197 ἑξ) «Λέγουσιν οἱ μέν, ὡς ἔστιν ἡ περὶ τοὺς *σοφιστὰς* (τοὺς τῆς ῥητορικῆς διδασκάλους) ***διατριβὴ*** φλυαρία καὶ φενακισμός, οἱ δὲ δεινοτέρους μὲν ὁμολογοῦσιν εἶναι τοὺς περὶ τὴν ***μελέτην ταύτην*** ὄντας, οὐ μὴν ἀλλὰ διαφθείρεσθαι. Ὡς *οὐδὲν ὑγιὲς οὐδ ἀληθὲς* οὐδέτεροι τούτων λέγουσι πολλὰς ἐλπίδας ἔχω φανερὸν ποιήσειν». Αὐτοὺς δὲ ***ληρεῖν*** φησι τοὺς τὴν ***παιδείαν ταύτην*** φλυαρίαν εἶναι φάσκοντας· διασύροντας γὰρ αὐτὴν ὡς ἀπάτην οὖσαν καὶ φενακισμόν, ὅμως ἀξιοῦν εὐθὺς μὲν προσελθόντας αὐτοὺς αὐτῶν διαφέρειν, μετ' ὀλίγας δ' ἡμέρας σοφωτέρους τῶν ἡλικίαις τε καὶ ἐμπειρίαις προυχόντων φαίνεσθαι, ἐνιαυτοῦ δὲ διαγενομένου ῥήτορας εἶναι τελείους ὁμοίως τούς τε ἀμελεῖς καὶ τοὺς ἐπιμελεῖς καὶ τούς τε ἀφυεῖς καὶ τοὺς εὐφυεῖς, καὶ ταῦτα οὔτε τῶν ***διδασκόντων*** τοιαῦτ' ἐπαγγελλομένων, οὔτ' ἐν ταῖς ἄλλαις παιδείαις τοιούτου τινὸς συμβαίνοντος, ἀλλὰ δυσχερῶς μὲν τῶν ἐπιστημῶν παραγιγνομένων, οὐχ ὁμοίως δὲ ταύτας τῶν λαβόντων ἐξεργαζομένων, ἀλλ' ἐλαχίστων ἐξ ἁπάντων τῶν διδασκαλείων ῥητόρων γιγνομένων, τῶν δ' ἄλλων ἰδιωτῶν ἀπαλλαττομένων.

Τοῦ αὐτοῦ δὲ λόγου ἄλλοθι (224 κ. ἑξ.) τῶν πονηρῶν καὶ ἀκρατῶν σοφιστῶν ἑαυτὸν διακρίνων καὶ χωρίζων συνδιαβαλλόμενον τοιάδε εἰρηκὼς τυγχάνει· οὐ δίκαιον εἶναι διὰ τοὺς ἀκρατεῖς καὶ πονηροὺς διαβάλλεσθαι καὶ τοὺς καλῶς τῇ *φιλοσοφίᾳ* (τῇ διδασκαλίᾳ) χρωμένους, οὐδὲ διὰ τοὺς συκοφάντας καὶ τοὺς ἄλλους ἅπαντας δοκεῖν εἶναι τοιούτους· διὸ καὶ τοὺς λόγους τοὺς ἑαυτοῦ τοῖς δικασταῖς ἐπιδεῖξαι καὶ τοὺς μαθητὰς διελθεῖν, διακρίνειν ἑαυτὸν βουλόμενον, ὡς οὔτ' αὐτὸς ταὐτὰ τοῖς σοφισταῖς ἐπιτηδεύοι, οὔθ' οἱ μαθηταὶ τῶν αὐτῶν τοῖς ἐκείνων ἕνεκα συνεῖεν· τοὺς μὲν γὰρ ἀλαζονείας ἕνεκα, τοὺς δὲ

παιδείας. Ἔτι δὲ οἱ μὲν σοφισταὶ ἁπάσαις ταῖς Ἑλληνίσιν ἐνοχλοῖεν πόλεσι ζητοῦντες τοὺς ἐξαπατηθησομένους, πρὸς αὐτὸν δ' ἐξ *ἁπάντων τῶν τόπων μαθηταὶ πλέοιεν*· τοῦτο δὲ ποιοῖεν οὐχ ἵνα πονηροὶ γένοιντο, πανταχοῦ παρὸν πολλοὺς τοιούτους εὑρίσκειν, οὐδ' ἵνα πολλὰ τελοῦντες συκοφάνται ἀποβαῖεν, οἷς ἥδιον εἴη τὰ τῶν ἄλλων λαβεῖν ἢ καὶ ὁτιοῦν τῶν ἑαυτῶν διδόναι, ἐξὸν πανταχοῦ προῖκα λαβεῖν τὴν ἐπιστήμην ταύτην, ἀλλ' *ἵνα* δὴ *βελτίους γένοιντο*, πολὺ *φρονιμωτέρους* τῶν παρ' ἑαυτοῖς τοὺς ἐνθάδε *παιδεύοντας* ἡγούμενοι. Καίπερ δ' ἐνίους εἰδότας τούς τε μαθητὰς τούτους καὶ τοὺς διδασκάλους (τὸν Ἰσοκράτη) *οὐδὲν κακὸν ἐπιτηδεύοντας*, μόνον δ' ἑαυτοῖς τὸν νοῦν προσέχοντας καὶ μετ' ἀλλήλων συνόντας, *εὐτελέστατα* δὲ καὶ *κοσμιώτατα* ζῶντας, τῶν δὲ *λόγων τῶν δικανικῶν* οὐκ ἐπιθυμοῦντας *οὐδὲ τῶν λυπούντων* τινάς, ἀλλὰ τῶν *παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμούντων*, ὅμως βλασφημεῖν περὶ αὐτῶν λέγοντας, ὡς ταῦτα μελετῷεν, ἵνα ἐν ταῖς δίκαις παρὰ τὸ δίκαιον πλεονεκτοῖεν.

Οὐ πολὺ δὲ πόρρω αὐτόθεν τοῦ λόγου τούτου προϊὼν (220 κ. ἑξ.) ἄλλ' ἄττα λέγων συνηγορῶν *τοῖς λόγοις* φαίνεται, ὡς εἴπερ ἡ περὶ *τοὺς λόγους δεινότης* τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν ποιοίη, πάντες ἂν οἱ ῥήτορες πολυπράγμονες καὶ συκοφάνται ἂν εἶεν· νῦν δὲ πάντων τῶν νῦν τε καὶ πάλαι πολιτευομένων τοὺς μάλιστα ῥητορικοὺς βελτίστους ἂν ὄντας εὑρεθῆναι, οἷον Σόλωνά τε καὶ Κλεισθένη καὶ Θεμιστοκλέα καὶ Περικλέα, ἐξ ὧν ἂν σαφέστατα καταδειχθῆναι, ὡς οὐχ *αἱ τῶν λόγων δυνάμεις* κακοπράγμονας τοὺς ἀνθρώπους ποιοῦσι.

Ἄλλοθι δὲ τοῦ λόγου τούτου (243 κ. ἑξ.) πικρῶς ἐλέγχοντ' ἂν εὕροις τοὺς φθόνῳ περὶ τῆς *τῶν λόγων παιδείας* βλασφημοῦντας. Εἶπε γάρ που πάντας τοὺς φιλοτίμως ἔχοντας ἐπιθυμοῦντας τοῦ *εὖ λέγειν*, ἀτυχοῦντας δὲ διὰ ῥαθυμίαν ἢ διὰ τὴν φύσιν ἢ δι' ἄλλο τι φθονεῖν τοῖς πολλῇ ἐπιμελείᾳ τυχεῖν βουλομένοις ὧν αὐτοὺς ἐρᾶν· διὸ μακαρίζοντας τοὺς *εὖ λέγειν* δυναμένους, ἐπιτιμᾶν ὅμως τοῖς τυχεῖν τούτου βουλομένοις, καὶ τοῖς θεοῖς εὐχομένους μάλιστα μὲν αὐτοὺς *δύνασθαι λέγειν*, εἰ δὲ μή, τοὺς παῖδας καὶ τοὺς οἰκείους, ὅμως τοὺς *παιδείᾳ ταῦτα* πειρωμένους *κτᾶσθαι* οὐδὲν τῶν δεόντων πράττειν φάναι. καὶ καταγελᾶν μὲν αὐτῶν ὡς ἐξηπατημένων, ὁπόταν δὲ τύχωσιν, ὡς περὶ πλεονεκτεῖν μελλόντων τοὺς λόγους ποιεῖσθαι. Ἔτι δὲ συμβούλοις μὲν ἐν κινδύνῳ

τῆς πόλεως οὔσης τοῖς *ἄριστα λέγουσι* χρῆσθαι, περὶ δὲ τοὺς παρασκευαζομένους, ὅπως ἂν *ταύτῃ* χρήσιμοι τῇ πόλει ὦσιν, βλασφημεῖν. Ὀνειδίζοντας δὲ Θηβαίοις ἀμαθίαν τοὺς *ἔργῳ* διαφεόγοντας τὴν νόσον ταύτην λοιδορεῖν. Καὶ τὴν Πειθὼ θεὸν εἶναι νομίζοντας τοὺς *τῆς δυνάμεως* ταύτης μετασχεῖν ζητοῦντας διαφθείρεσθαι λέγειν. Τὸ δὲ πάντων δεινότατον, σπουδαιότερον οὖσαν τὴν ψυχὴν τοῦ σώματος εἰδότας μᾶλλον τοὺς γυμναζομένους τῶν *φιλοσοφούντων* (τῶν περὶ τοὺς λόγους σπουδαζόντων) ἀποδέχεσθαι καὶ ἐπαινεῖν, πάντων ἐπισταμένων δι' εὐεξίαν μὲν τοῦ σώματος οὐδὲν ἐλλόγιμον ἔργον τὴν πόλιν διαπραξαμένην, *διὰ* δὲ *φρόνησιν ἀνδρ᾽ς* εὐδαιμονεστάτην καὶ μεγίστην γενομένην.

Ἀλλαχοῦ δὲ (αὐτ. 251), καθάπερ ἐν τῷ Νικοκλεῖ (1 κ ἑξ.), παραδείγμασι τῇ ῥώμῃ καὶ τῷ πλούτῳ χρώμενος διδάσκειν ἐπιχειρεῖ, ὡς παρὰ λόγον πολλοὶ δυσμενῶς *πρὸς τοὺς λόγους* ἔχουσιν, διότι κακῶς τινες αὐτοῖς χρῶνται. Λέγει γάρ, ὡς οὐδεὶς ἂν τοῖς τοῦ πλούτου αἰτίοις ἂν μέμψαιτο, εἴ τινες κληρονομήσαντες πλοῦτον τοὺς μὲν πολίτας ὑβρίζοιεν, τοὺς δὲ παῖδας καὶ τὰς γυναῖκας αἰσχύνοιεν, εἰ δέ τινες ὁπλομαχεῖν ἢ πυκτεύειν καὶ παγκρατιάζειν μαθόντες μηδὲν τού, τοις πρὸς τὸν πόλεμον ἢ τοὺς ἀγῶνας χρῷντο, ἀλλὰ κακῶς τοὺς ἐντυγχάνοντας ποιοῖεν ἢ πολλοὺς τῶν πολιτῶν διαφθείροιεν, πῶς οὐκ ἄν τις εἰκότως τούτους μὲν ἀπολέσειε, τοὺς δὲ διδασκάλους αὐτῶν ἐπαινοίη; Οὐκοῦν καὶ *περὶ τῶν λόγων* τὴν αὐτὴν χρῆναι διάνοιαν ἔχειν-ἥνπερ καὶ περὶ τῶν ἄλλων, καὶ μὴ περὶ τῶν ὁμοίων τἀναντία γιγνώσκειν.

Ὀλίγον δ' ἐνταῦθα προϊὼν (258 κ. ἑξ.) ἀντιλέγει τοῖς ὑπ' ἄλλων τε καὶ Πλάτωνος τῶν λόγων κατηγορηθεῖσιν, ὡς ταῦτα ποιοῖεν οὐ τὴν δύναμιν *αὐτῶν* ἀγνοοῦντες, οὐδ' ὅτι τάχιστ' ἂν *οὗτοι* τοὺς χρωμένους *ὠφελήσειαν*, ἀλλ' ἐλπίζοντες, εἰ *τούτους* διαβάλλοιεν, *τοὺς αὐτῶν ἐντιμοτέρους ἂν ποιῆσαι·* δύναιτο δ' ἂν πικρότερον περὶ αὐτῶν εἰπεῖν ἢ περὶ αὐτοῦ ἐκεῖνοι, ἀλλ' οὐ δέοι ὅμοιον τοῖς ὑπὸ τοῦ *φθόνου* διεφθαρμένοις γενέσθαι· ἡγοῖτο δὲ τοὺς ἐν τοῖς ἐριστικοῖς λόγοις (τοῖς διαλόγοις) δυναστεύοντας (τὸν Πλάτωνα) καὶ τοὺς περὶ τὴν ἀστρολογίαν καὶ τὴν γεωμετρίαν καὶ τὰ τοιαῦτα διατρίβοντας οὐ βλάπτειν, ἀλλ' ὠφελεῖν τοὺς συνόντας ἐλάττω μὲν ὧν αὐτοὶ ὑπισχνοῦν-

ται, πλείω δ' ὧν τοῖς ἄλλοις δοκοῦσι· τούς τε γὰρ ἀχρεῖον πρὸς τὰς πράξεις τὴν παιδείαν ταύτην νομίζοντας ὀρθῶς οἴ δοκεῖν γιγνώσκειν καὶ τοὺς ἐπαινοῦντας ὀρθῶς λέγειν· τὰ γὰρ μαθήματα ταῦτα τοὺς μὲν ἀπηκριβωμένους. οὐδὲν εἰς τὰς πράξεις πλὴν τῶν ἐπιτηδευόντων ὠφελεῖν, τοὺς δὲ μανθάνοντας ἱκανῶς ὀνινάναι· δυσκολομαθήτοις γὰρ πράγμασιν ἀναγκάζοντα προσέχειν τὸν νοῦν καὶ ἐπὶ τοῖς λεγομένοις τε καὶ δεικνυμένοις μένειν ἐθίζοντα καὶ μὴ πεπλανημένην ἔχειν τὴν διάνοιαν θᾶττον καὶ ῥᾷον τὰ σπουδαιότερα οἵους τε μανθάνειν ποιεῖν. *Οὔκουν φιλοσοφίαν* τὴν διατριβὴν ταύτην εἶναι οὐδὲν ἐν τῷ παρόντι πρὸς τὸ λέγειν καὶ πράττειν ὠφελοῦσαν, ἀλλὰ γυμνασίαν τῆς ψυχῆς τινα καὶ *παρασκευὴν φιλοσοφίας* ἀνδρικωτέραν μὲν τῆς ἐν τοῖς διδασκαλείοις παιδικῆς, τὰ δὲ πλεῖστα παραπλησίαν. Χρόνον μὲν οὖν τινα περὶ αὐτὴν διατρίβειν συμβουλεύοι ἂν τοῖς νεωτέροις, μὴ μέντοι κατασκελετευθῆναι ἐπὶ τούτοις, μηδ' ἐξοκεῖλαι εἰς τοὺς περὶ πλήθους τῶν ὄντων τῶν παλαιῶν σοφιστῶν λόγους τερατολογίας ὁμοίας ταῖς θαυματοποιίαις ὄντας.

Μικρὸν δὲ πορρωτέρω τοῦ αὐτοῦ χωρῶν λόγου (283 κ. ἑξ.) ἐλέγχειν πειρώμενος τὰς πλημμελεῖς *περὶ παιδείας* Ἀθηναίων τινῶν δόξας πολλὰ κακὰ τὴν *περὶ τοὺς λόγους* φιλοσοφίαν ποιούσας λέγει «νῦν οὕτως *ἀνέστραπται* καὶ *συγκέχυται πολλὰ τῶν* κατὰ τὴν πόλιν, ὥστε ἔνιοι (285) τοὺς τῶν *ἀναγκαίων* μὲν (τῆς περὶ τοὺς λόγους παιδείας) ἀμελοῦντας, τὰς δὲ τῶν παλαιῶν σοφιστῶν τερατολογίας ἀγαπῶντας φιλοσοφεῖν φασιν, ἀλλ' οὐ τοὺς τὰ *τοιαῦτα* μανθάνοντας, ***ἐξ ὧν καὶ τὸν οἶκον καὶ τὰ κοινὰ καλῶς διοικήσουσιν***, ὧνπερ ἕνεκα πάντα πρακτέον ἐστίν· *ἀφ' ὧν* ὑμεῖς (οἱ Ἀθηναῖοι) ἀπελαύνετε τοὺς νεωτέρους ἀποδεχόμενοι τοὺς λόγους τοὺς τῶν διαβαλλόντων τὴν *τοιαύτην παιδείαν*». Πεποιηκέναι γὰρ αὐτοὺς τῶν νεωτέρων τοὺς μὲν ἐν πότοις καὶ παιδιαῖς διάγειν, τοὺς δ' ἐν αἰσχίστοις ἀκολασίαις ἡμερεύειν καὶ τοὺς μὲν ἐπὶ ταῦτα προτρέποντας (τοὺς τὴν τῶν λόγων μελέτην διαβάλλοντας) οὐδένα διὰ τοῦτο εἰσαγαγεῖν εἰς δίκην, *ἑαυτοῖς* δὲ *τοῖς* τοὺς συνόντας *ἀπὸ τῶν τοιούτων ἀποτρέπουσιν* ἀντὶ τοῦ χάριν εἰδέναι κακὰ παρέχειν. Ἀντὶ δὲ τοῦ τοὺς *εἰς τὴν αὐτῶν παιδείαν* καὶ ὁτιοῦν ἀναλίσκοντας ὡς διαφθειρομένους διαβαλλέσθαι, ἀξίους εἶναι *ἐπαινεῖν* μᾶλλον καὶ *βελτίστους* τῶν ἡλικιωτῶν νομίζειν· ὑπεριδόντας γὰρ τῶν τῆς

ἡλικίας ἡδονῶν πονεῖν ἑλέσθαι χρήματα τελέσαντας, καὶ εὐθὺς ἐκ παίδων γνῶναι δέον τὸν ὀρθῶς (τοῦ οἴκου καὶ τῆς πόλεως) προστατήσοντα τῆς ἡλικίας τῆς αὐτοῦ πρότερον ἢ τῶν αὐτοῦ ἐπιμελεῖσθαι, καὶ μὴ ζητεῖν ἄλλων ἄρχειν, πρὶν τῆς αὐτοῦ *διανοίας ἐπιστατήσοντα* λάβοι, μηδ' οὕτω μέγα ἐπὶ τοῖς ἄλλοις ἀγαθοῖς φρονεῖν, ὡς ἐπὶ τοῖς ἐκ *τῆς παιδείας* γιγνομένοις.

Εὐθὺς δὲ μετὰ ταῦτα (291 κ. ἑξ.) λύων τὴν διαβολὴν τὴν τῶν *ἐπιμελομένων εἶναι δεινῶν λέγειν*, ὡς ἀδίκου καὶ κακοῦ ἐπιτηδεύματος ἐπιθυμοῖεν, θαυμάζειν φησίν, ὅπως ποτὲ εὐδαιμονίζοντες πολλοὶ τοὺς φύσει δεινοὺς λέγειν οὕτω πρὸς τοὺς *μελέτῃ τοιούτους* διακέοιντο· οὐδὲν γὰρ τῶν φύσει καλῶν *μελέτῃ* κατεργασθὲν αἰσχρὸν γίγνεσθαι· οὐδ' ἐν τοῖς ἄλλοις ἀγαθοῖς ἐπαινεῖσθαι μᾶλλον τοὺς παρὰ τῶν προγόνων παραλαβόντας τῶν *φιλοπονίᾳ* αὐτῶν κτησαμένων. Συμφέρειν δέ γ' ἐπὶ τῶν *λόγων* μὴ τὰς εὐτυχίας ἀλλὰ τὰς *ἐπιμελείας* εὐδοκιμεῖν· τοὺς γὰρ φύσει δεινούς, ὅπως ἂν τύχωσι, χρῆσθαι *τοῖς λόγοις*, τοὺς δὲ *φιλοσοφίᾳ τοιούτους* γενομένους οὐδὲν ἀνετοίμους λέγοντας ἧττον περὶ τὰς πράξεις πλημμελεῖν. Ἀθηναίοις δὲ μάλιστα προσήκειν βούλεσθαι πολλοὺς εἶναι *τοὺς τοιούτους*· καὶ γὰρ αὐτοὺς μάλιστα τῶν ἄλλων προύχειν τῷ πρὸς τὴν *φρόνησιν* καὶ *πρὸς τοὺς λόγους* ἄμεινον αὐτῶν *πεπαιδεῦσθαι*.

Εὐθὺς δ' ἐπὶ τούτοις (295 κ. ἑξ.) ἐπ' ἄλλον λόγον τῆς *ῥητορικῆς* ὑπεραπολογούμενος ἔρχεται, τὸν τὴν πόλιν τὴν τῶν Ἀθηναίων αὐτὴν διδάσκαλον *ταύτης* εἶναι. Καὶ γὰρ ἆθλα μέγιστα τιθέναι *αὐτῆς* καὶ γυμνάσια πλεῖστα τοῖς *ἀγωνιουμένοις* παρέχειν, ἔτι δὲ τὴν περὶ *τοὺς λόγους ἐμπειρίαν* ἐνταῦθα μάλιστα πάντας λαμβάνειν. Ὥστε σκοπεῖν δεῖν αὐτούς, μὴ καταγέλαστον εἴη τῆς δόξης ταύτης φλαῦρόν τι καταγιγνώσκειν τοῦ *ταύτης* διδασκάλου (Ἰσοκράτους) καταψηφισαμένους (ἀντιδόσεως δίκην κρινομένου) καὶ ὅμοιον ποιήσαντας, ὥσπερ ἂν εἰ Λακεδαιμόνιοι μὲν τοὺς πολεμικούς, Θετταλοὶ δὲ τοὺς ἱππικοὺς ζημιοῦν ἐπιχειροῖεν, διότι δὴ τοιοῦτοι εἶεν.

Ἄλλοθι δὲ τοῦ λόγου τούτου (304 κ. ἑξ.) τὴν Ἀθηναίων πόλιν αὐτὴν προτρέπεσθαι χρῆναί φησιν ἐπὶ *τὴν τῶν λόγων παιδείαν* τῶν νεωτέρων τοὺς εὐποροῦντάς τε καὶ σχολὴν ἄγοντας, κάλλιστον εἶναι ἐπιτήδευμα νομίζοντας *τὴν τῆς ψυχῆς ἐπιμέλειαν*. Καὶ τούτων τοὺς

μὲν χρησίμους ἑαυτοὺς τῇ πόλει παρασκευάζοντας πολλοῦ ποιεῖσθαι, τοὺς δ' ἀσελγῶς τῶν καταλειφθέντων ἀπολαύοντας προδότας τῆς πόλεως νομίζειν. Μόλις γὰρ ἂν οὕτως ἐθελήσειαν καταφρονήσαντες τῆς ῥᾳθυμίας τῆς φιλοσοφίας ἀντέχεσθαι.

Ἑξῆς δὲ τούτοις πρὸς Ἀθηναίους τὸν λόγον ποιούμενος (336 κ. ἑξ.) τοὺς *ὑπερέχοντας* καὶ τῇ *φύσει* καὶ ταῖς *μελέταις* (ταῖς ῥητορικαῖς) καὶ τοὺς *τοιούτους* προθυμουμένους γενέσθαι ἀγαπᾶν καὶ τιμᾶν καὶ θεραπεύειν αὐτούς φησι δεῖν ἐπισταμένους, ὅτι καὶ μεγάλων ἡγήσασθαι ἔργων καὶ τὴν πόλιν ἐκ κινδύνων σῴζειν καὶ τὴν δημοκρατίαν διαφυλάττειν *ἐν τοῖς τοιούτοις* μόνοις ἐνείη. *Τοιοῦτον* (φύσει καὶ ῥητορικῇ μελέτῃ προύχοντα) μὲν γὰρ γενέσθαι τὸν τοὺς τυράννους ἐκβαλόντα καὶ τὸν δῆμον καταγαγόντα καὶ τὴν δημοκρατίαν καταστήσαντα (τὸν Κλεισθένη), *τοιοῦτον* δὲ τὸν ἐν Μαραθῶνι νικήσαντα καὶ δόξαν τῇ πόλει περιποιησάμενον, *τοιοῦτον* δὲ τὸν τοὺς Ἕλληνας ἐλευθερώσαντα καὶ τοὺς Ἀθηναίους ἐπὶ τὴν ἡγεμονίαν προαγαγόντα καὶ τὸ τεῖχος ἀκόντων Λακεδαιμονίων τῇ πόλει περιβαλόντα, *οὐκ ἄλλον* δὲ τὸν ἀργυρίου καὶ χρυσίου τὴν Ἀκρόπολιν ἐμπλήσαντα καὶ τοὺς ἰδίους οἴκους μεστοὺς εὐδαιμονίας ποιήσαντα. Πάντας γὰρ τούτους μάλιστα *τῷ φρονεῖν* καὶ *τῷ λέγειν* διαφέρειν καὶ προύχειν τῶν ἄλλων.

3. *Κατὰ τῶν τότε ῥητόρων (τῶν πολιτικῶν).*

Οὐκ ὀλίγοις οὐδὲ σμικροῖς ἂν ἐντύχοιμεν τοῖς αὐτῷ τῶν τότε ῥητόρων κατηγορουμένοις, μάλιστα δὲ τῶν πονηρῶν καὶ τῶν κακῶς τῆς πόλεως καὶ τῶν κοινῶν προεστηκότων.

Οἷον ἐν τῷ Φιλίππῳ (2) κατηγορεῖ αὐτῶν, ὅτι *παρὰ τὸ τῇ πόλει συμφέρον* ἐπὶ τὸν πρὸς Φίλιππον πόλεμον παροξύνοιεν ταῖς ἐκείνου ἐπιθυμίαις συναγορεύοντες, περὶ τὸν εἰρηνικώτατον τῶν λόγων αὐτοῦ διατρίβοντος καὶ μάλιστ' εἰς τὸ τῇ πόλει λυσιτελοῦν βλέποντος.

Ἐν δὲ τῷ περὶ εἰρήνης (3) Ἀθηναίοις ἐπιτιμῶντα ὁρῶμεν, ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ *τῶν κολακευόντων* ἀναστάτους γεγενημένους καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς *ταύτην τὴν τέχνην* ἔχοντας, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως *πρὸς αὐτοὺς* διακέοιντο,

ἀλλὰ μᾶλλον *τούτοις* πιστεύοιεν ἢ τοῖς ἄλλοις πολίταις· πεποιηκέναι γὰρ τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν *οὐ τὰ τῇ πόλει μέλλοντα συνοίσειν*, ἀλλ' ὅπως ἂν *αὐτοῖς τὰ ἀρέσκοντα* λέγοιεν· *ἐφ᾽ ὃ* καὶ τότε τοὺς πολλοὺς αὐτῶν ἐρρυηκέναι.

Καὶ ὀλίγον μετὰ ταῦτα (25) ἔτυχεν πρὸς Ἀθηναίους εἰπὼν «Οὐδὲν τούτων (τῶν ἀγαθῶν) οἷόν τ' ἔστι γενέσθαι πρότερον, πρὶν ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν εἶναι τῆς πολυπραγμοσύνης, τὴν δὲ δικαιοσύνην τῆς ἀδικίας, τὴν δὲ τῶν ἰδίων ἐπιμέλειαν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας· περὶ ὧν οὐδεὶς πώποτε *τῶν ῥητόρων* εἰπεῖν ἐν ὑμῖν ἐτόλμησεν».

Πολὺ δὲ πόρρω τοῦ αὐτοῦ λόγου ἰόντες (121) ὅμοια καὶ παραπλήσια τοῖς τότε ῥήτορσιν ἐπικαλοῦντα εὑρίσκομεν· ἐν μὲν γὰρ τῷ παρόντι *πρὸς χάριν* τῇ πόλει λέγειν, *τοῦ* δὲ *μέλλοντος οὐδὲν ἐπιμελεῖσθαι* καὶ φιλεῖν τὴν πόλιν φάσκοντας ὅλην τὴν πόλιν *λυμαίνεσθαι*· παραλαβόντας γὰρ τοὺς τοιούτους τὴν τοῦ βήματος δυναστείαν *εἰς πολλὴν ἄνοιαν* προαγαγεῖν τὴν πόλιν· θαυμαστότατον δ' ἁπάντων εἶναι, ὅτι *δημαγωγοὺς* (ῥήτορας ὄντας) ἡ πόλις προχειρίζοιτο τοὺς *ὁμοίως* λέγοντας καὶ πράττοντας τοῖς *ἀπολέσασιν αὐτήν*· ἐπὶ γὰρ τούτων δὶς ἤδη τὴν δημοκρατίαν καταλυθῆναι καὶ τοὺς ἐπὶ τῶν τριάκοντα φυγόντας οὐ διὰ τούτους κατελθεῖν, ἀλλὰ διὰ τοὺς μισοῦντας τοὺς τοιούτους. Ἀλλ' ὅμως οὕτω χαίρειν τὴν πόλιν *ταῖς τῶν ῥητόρων πονηρίαις*, ὥστε πολλῶν μὲν πολιτῶν διά τε τὸν πόλεμον καὶ τὰς ταραχὰς ἐκπεπτωκότων τῶν πατρῴων, τούτων δ' *ἐκ πενήτων πλουσίων γεγενημένων*, ὅμως μὴ ἀγανακτεῖν, ἀλλ' ὑπομένειν διαβαλλομένην *δι' αὐτοὺς* πρὸς τοὺς Ἕλληνας, καὶ τὸν μὲν *δῆμον χεῖρον τῶν ὀλιγαρχουμένων πράττοντα, τούτους* δ' *ἐκ ταπεινῶν εὐδαίμονας* γεγενημένους.

Καὶ ἀλλαχοῦ δ' ἄλλα πόλλ' ἂν ἀναγνοῖμεν τῶν ῥητόρων πονηρῶν τότε ὄντων κατηγοροῦντα· οἷον (129) οὐδὲν εἶναι γένος *πονηρῶν ῥητόρων τῷ πλήθει κακονούστερον*· πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς *τῶν καθ' ἡμέραν ἀναγκαίων σπανίζειν* αὐτὸ βούλεσθαι ὁρῶντας τοὺς μὲν ἐκ τῶν ἰδίων τὰ ἑαυτῶν διοικοῦντας τῆς πόλεως καὶ τῶν τὰ βέλτιστα λεγόντων ὄντας, τοὺς δ' ἐκ τῶν ἀπὸ τοῦ κοινοῦ λημμάτων ζῶντας ὑφ' ἑαυτοῖς διὰ τὴν ἔνδειαν ὄντας· ἐν οὖν ταῖς *ἀπορίαις*, ἐν αἷς αὐτοὺς δυναστεύειν, *ἐν ταύταις* ἥδιστ' ἂν ἰδεῖν *ἅπαντας ὄντας τοὺς πολίτας*.

Ἐν δὲ τῷ Παναθηναϊκῷ (12 κ. ἑξ.) πρὸς ἑαυτὸν καὶ τοὺς αὐτῷ συγγεγονότας κρίνων τοὺς *ῥήτορας* τοιάδε ψέγων φαίνεται «Πάντες ἴσασι τῶν *ῥητόρων τοὺς πολλοὺς οὐχ ὑπὲρ τῶν τῇ πόλει συμφερόντων, ἀλλ' ὑπὲρ ὧν αὐτοὶ λήψεσθαι προσδοκῶσι* δημηγορεῖν τολμῶντας, ἐμὲ δὲ καὶ τοὺς ἐμοὺς οὐ μόνον τῶν κοινῶν ἀπεχομένους, ἀλλὰ καὶ τῶν ἰδίων εἰς τὰς τῆς πόλεως χρείας ὑπὲρ δύναμιν δαπανωμένους, ἔτι δὲ *τοὺς μὲν ἢ λοιδορουμένους* ἐν ταῖς ἐκκλησίαις περὶ μεσεγγυήματος *σφίσιν αὐτοῖς* καὶ *λυμαινομένους τοὺς συμμάχους* ἢ τῶν ἄλλων ὃν ἂν τύχωσι *συκοφαντοῦντες*, ἐμὲ δὲ τῶν λόγων ἡγεμόνα γεγενημένον τῶν τοὺς Ἕλληνας ἐπὶ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν καὶ τὴν ἐπὶ τοὺς βαρβάρους στρατείαν παρακαλούντων καὶ τῶν ἐπὶ τοιαύτην καὶ τοσαύτην χώραν ἀποικίαν κοινῇ πέμπειν συμβουλευόντων». Μέμφεται δὲ τοῖς Ἀθηναίοις (15), ὅτι οὕτω σπουδαιοτέραν αὐτοῦ *τῶν ῥητόρων* ποιουμένου τὴν αἵρεσιν, ὅμως *τῶν μὲν τὸν τρόπον ψέγοντες* προστάτας τῆς πόλεως ποιοῦνται καὶ κυρίους ἁπάντων καθιστᾶσιν, ἑαυτοῦ δὲ τοὺς λόγους ἐπαινοῦντες φθονοῦσι δι' οὐδὲν ἕτερον ἢ διὰ τούτους

Ἐν δὲ τῇ Ἀντιδόσει (136 κ. ἑξ.) Τιμοθέῳ μαθητῇ αὐτοῦ γεγενημένῳ, ἐπαχθεστέρῳ δοκοῦντι εἶναι τοῖς συμπολιτευομένοις τοιαῦτα πρὸς τὸ ἀρέσκειν δύνασθαι παραινῶν φαίνεται, ἐν οἷς ἄν τις μάλιστα ψεγομένους τοὺς ῥήτορας ἴδοι. Εἶπε γὰρ «πλείστων ἀγαθῶν αἴτιος γεγενημένος (τῇ πόλει) χεῖρον διάκεισαι τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων· εἰκότως· οἱ μὲν γὰρ τοὺς *ῥήτορας* (τοὺς πολιτικοὺς) καὶ τοὺς ἐν τοῖς ἰδίοις συλλόγοις *λογοποιεῖν* δυναμένους (τοὺς ἐπιδεικτικοὺς σοφιστὰς) καὶ πάντα προσποιουμένους εἰδέναι θεραπεύουσι· σὺ δὲ οὐ μόνον ἀμελεῖς ἀλλὰ καὶ πολεμεῖς *τοῖς μέγιστον δυναμένοις*. Καίτοι πόσους οἴει διὰ *τὰς τούτων ψευδολογίας*, τοὺς μὲν συμφοραῖς περιπεπτωκέναι, τοὺς δ' ἀτίμους εἶναι, πλείονος ἀξίους γεγενημένους τῶν ᾀδομένων καὶ τραγῳδουμένων; Ἢν οὖν ἐμοὶ πείθῃ καὶ νοῦν ἔχῃς, οὐ καταφρονήσεις *τῶν ἀνδρῶν τούτων*, οἷς τὸ πλῆθος εἴθισται πιστεύειν οὐ μόνον περὶ ἑνὸς ἑκάστου τῶν πολιτῶν ἀλλὰ καὶ περὶ ὅλων τῶν πραγμάτων, ἀλλ' ἐπιμέλειάν τινα ποιήσει καὶ θεραπείαν *αὐτῶν*, ἵν' εὐδοκιμήσῃς δι' ἀμφότερα καὶ διὰ τὰς πράξεις καὶ *διὰ τοὺς τούτων λόγους*». Οὐ πεισθέντος δὲ Τιμοθέου, ἥκιστα ποιεῖν τοιαῦτα

